Opera docere, ingeniose telam texere:
Et venustatem circunfundere capiti auream Venerem,
Et desiderium molestum, & membra fatigantes curas:
Imponere vero impudentem mentem, & fallaces mores
Mercurium iussit, nuncium Argicidam.
Sic dixit. illi autem obtemperarunt Iovi Saturnio regi.
Moxque ex terra finxit inclytus Ambiclaudus
Virgini verecundæ similem, Iovis consiliis.
Cinxit vero & ornavit dea glaucocula Minerva:
Circum vero Charitesque deæ, & veneranda Suada,
Monilia aurea imposuerunt corpori. ipsam porro
Horæ pulchricomæ coronarunt floribus vernis.
Omnē vero illius corpori ornatum adaptavit Pallas Minerva,
At in pectore illi nuncius Argicida,
Mendacia blandosque sermones, & dolosos mores
Fecit Iovis consiliis gravistrepi. sed vocem illi
Imposuit deorum præco. appellavit autē mulierē hancce
Pandoram: quia omnes cœlestium domorum incolæ
Donum contulerunt, detrimentū hominibus industriis.
At postquā dolum perniciosum & inevitabilem absolvit,
Ad Epimethea misit pater inclytum Argicidam
Munus ferentē, deorū celerē nuncium. neq; Epimetheus
Cogita-

Σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι.
Τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες
Τέρπωνται κατὰ θυμόν, ἑὸν κακὸν ἀμφαγαπῶντες.
Ὣς ἔφατ'· ἐκ δ' ἐγέλασε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
Γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
Καὶ σθένος· ἀθανάταις δὲ θεαῖς εἰς ὦπα εἴσκειν
Παρθενικαῖς καλὸν εἶδος ἐπήρατον· αὐτὰρ Ἀθήνην
Ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν·
Καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσῆν Ἀφροδίτην,
Καὶ πόθον ἀργαλέον, καὶ γυιοκόρους μελεδῶνας·
Ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείην ἤνωγε διάκτορον Ἀργειφόντην.
Ὣς ἔφατ'· οἱ δ' ἐπίθοντο Διῒ Κρονίωνι ἄνακτι.
Αὐτίκα δ' ἐκ γαίης πλάσε κλυτὸς Ἀμφιγυήεις
Παρθένῳ αἰδοίῃ ἴκελον, Κρονίδεω διὰ βουλάς·
Ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη·
Ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
Ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήνγε
Ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσι·
Πάντα δέ οἱ χροῒ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη,
Ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος Ἀργειφόντης
Ψεύδεά θ' αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος
Τεῦξε, Διὸς βουλῇσι βαρυκτύπου· ἐν δ' ἄρα φωνὴν
Θῆκε θεῶν κῆρυξ. ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην, ὅτι πάντες ὀλύμπια δώματ' ἔχοντες
Δῶρον ἐδώρησαν, πῆμ' ἀνδράσιν ἀλφηστῇσιν.
Αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσεν,
Εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν Ἀργειφόντην,
Δῶρον ἄγοντα, θεῶν ταχὺν ἄγγελον. οὐδ' Ἐπιμηθεὺς

Ἐφράσαθ' ὥς οἱ ἔειπε Προμηθεὺς, μήποτε δῶρον
Δέξασθαι πὰρ Ζηνὸς ὀλυμπίου, ἀλλ' ἀποπέμπειν
Ἐξοπίσω, μήπου τι κακὸν θνητοῖσι γένηται.
Αὐτὰρ ὁ δεξάμενος, ὅτε δὴ κακὸν εἶχ', ἐνόησε.
Πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
Νόσφιν ἄτερ τε κακῶν, καὶ ἄτερ χαλεποῖο πόνοιο,
Νούσων τ' ἀργαλέων, αἵτ' ἀνδράσι γῆρας ἔδωκαν.
Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι.
Ἀλλὰ γυνὴ χείρεσσι, πίθου μέγα πῶμ' ἀφελοῦσα
Ἐσκέδασ'· ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά.
Μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισι
Ἔνδον ἔμιμνε, πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
Ἐξέπτη. πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο,
Αἰγιόχου βουλῇσι Διὸς νεφεληγερέταο.
Ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται.
Πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα.
Νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτὶ
Αὐτόματοι φοιτῶσι, κακὰ θνητοῖσι φέρουσαι
Σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς.
Οὕτως οὔτι πη ἔστι Διὸς νόον ἐξαλέασθαι.
Εἰ δ' ἐθέλεις, ἕτερόν τοι ἐγὼ λόγον ἐκκορυφώσω
Εὖ καὶ ἐπισταμένως. σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
Ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι,
Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
Ἀθάνατοι ποίησαν, ὀλύμπια δώματ' ἔχοντες.
Οἱ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν·
Ὥς τε θεοὶ δ' ἔζωον, ἀκηδέα θυμὸν ἔχοντες,
Νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος· οὐδέ τι δειλὸν
Γῆρας ἐπῆν, αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
Τέρποντ' ἐν θαλίῃσι, κακῶν ἔκτοσθεν ἁπάντων·

Θνῆσκον

Cogitavit quod illi præcepisset Prometheus, ne quando
Susciperet a Iove Olympio, sed remitteret (munus
Retro, necubi mali quippiam mortalibus eveniret.
Verum ille recepto eo, cum iam malum haberet, sensit.
Prius namque in terra vivebant familiæ hominum
Seorsim a malis & absque iis, & sine difficili labore,
Morbisq; molestis, qui hominibus senectam afferunt.
Statim enim in afflictione mortales consenescunt.
Sed mulier manibus vasis magnũ operculũ cũ dimovisset
Dispersit, hominibus autẽ machinata est curas graves.
Sola vero illic spes infracta in domo
Intus mansit, dolij sub labris, neque foras
Evolavit. prius enim iniecit operculum dolij,
Ægiochi consilio Iovis nubicogæ.
Alia vero innumera mala inter homines errant.
Plena enim terra est malis, plenumque mare.
Morbi autem hominibus tam interdiu quam noctu
Vltro oberrant, mala mortalibus ferentes
Tacite: nam vocem exemit prudens Iupiter.
Sic nusquam licet Iovis mentem evitare.
Cæterum si voles, alium tibi sermonem paucis absolvam
Belle ac scienter: tu vero præcordiis imponito tuis.
Vt simul nati sunt dij, mortalesque homines,
Aureum primo genus diversiloquentium hominum
Dij fecerunt, cælestium domorum incolæ.
Et ij quidem sub Saturno erant, cum in cælo regnaret:
Et ut dij vivebant, securo animo præditi,
Plane absque laboribus & ærumna: neque molesta
Senecta aderat: semper vero pedibus ac manibus similes
Delectabantur in conviviis, extra mala omnia.

Moriebantur autē ceu somno domiti: bona vero omnia
Illis erant: fructum autem ferebat fertile arvum
Sponte sua, multumque & copiosum: ipsique ultro
Quieti partis fruebantur, cum bonis multis.
Verum postquam hoc genus terra abscondit,
Ii quidem dæmones facti sunt, Iovis magni consilio,
Boni, in terris versantes, custodes mortalium hominum:
Qui quidem observant & iusta & prava opera,
Caligine involuti, passim oberrantes per terram,
Opum datores. atque hoc munus regale consecuti sunt.
Secundum inde genus, multo deterius postea
Argenteum fecerunt cælestium domorum incolæ,
Aureo neq; corporis proceritate simile, neq; intellectu.
Sed centum annis puer apud matrem sedulam
Nutriebatur crescens, valde rudis, domi suæ:
Cum vero adolevisset, & pubertatis terminū attigisset,
Pauxillum vivebant ad tempus, dolores habentes
Ob stultitias. iniuriam enim pravam non poterant
A se mutuo abstinere, neque deos colere
Volebant, neque sacrificare beatorum sacris in aris,
Vt fas hominibus ex more. Hos quidem deinde
Iupiter Saturnius abscondit iratus: quia honores
Non dabant beatis diis, qui olympum habitant.
At postquam & hoc genus terra occultavit,
Hi quidem subterranei beati mortales vocantur
Secundi: sed tamen honor etiam hos sequitur.
Iupiter vero pater tertium aliud genus hominum
AEneum fecit, omnino argenteo dissimile,
E fraxinis, vehemens & robustum, quibus Martis
Opera curæ erant luctuosa, ac iniuriæ: neq; ullum cibum

Θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα
Τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
Αὐτομάτη πολλόν τε καὶ ἄφθονον· οἱ δ' ἐθελημοὶ
Ἥσυχοι ἔργα νέμοντο, σὺν ἐσθλοῖσιν πολέεσσιν.
Αὐτὰρ ἐπεί κεν τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
Τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλάς,
Ἐσθλοὶ, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων·
Οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
Ἠέρα ἑσσάμενοι, πάντῃ φοιτῶντες ἐπ' αἶαν,
Πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήϊον ἔχον.
Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
Ἀργύρεον ποίησαν ὀλύμπια δώματ' ἔχοντες,
Χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον οὔτε νόημα.
Ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
Ἐτρέφετ' ἀτάλλων, μέγα νήπιος, ᾧ ἐνὶ οἴκῳ·
Ἀλλ' ὅταν ἡβήσειε, καὶ ἥβης μέτρον ἵκοιτο
Παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε' ἔχοντες
Ἀφραδίαις. ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
Ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν
Ἤθελον, οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
Ἣ θέμις ἀνθρώποισι κατ' ἤθεα. τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε, χολούμενος οὕνεκα τιμὰς
Οὐκ ἐδίδουν μακάρεσσι θεοῖς οἳ ὄλυμπον ἔχουσιν.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
Τοὶ μὲν ὑποχθόνιοι μάκαρες θνητοὶ καλέονται
Δεύτεροι, ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
Χάλκειον ποίησ', οὐκ ἀργυρέῳ οὐδὲν ὁμοῖον,
Ἐκ μελιᾶν, δεινόν τε καὶ ὄμβριμον· οἷσιν Ἄρηος
Ἔργ' ἔμελε στονόεντα καὶ ὕβριες· οὐδέ τι σῖτον

Ἤθιον, ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμόν,
Ἄπλαστοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖς μελέεσσιν.
Τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,
Χαλκῷ δ' εἰργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.
Καὶ τοὶ μὲν χείρεσσιν ὑπὸ σφετέρῃσι δαμέντες
Βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ ἀΐδαο,
Νώνυμοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
Εἷλε μέλας. λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
Αὖθις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε δικαιότερον καὶ ἄρειον,
Ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
Ἡμίθεοι, προτέρῃ γενεῇ κατ' ἀπείρονα γαῖαν.
Καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνή,
Τοὺς μὲν ἐφ' ἑπταπύλῳ Θήβῃ Καδμηΐδι γαίῃ
Ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο·
Τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
Ἐς Τροίην ἀγαγὼν Ἑλένης ἕνεκ' ἠϋκόμοιο.
Ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε·
Τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης.
Καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
Ἐν μακάρων νήσοισι, παρ' Ὠκεανὸν βαθυδίνην,
Ὄλβιοι ἥρωες· τοῖσιν μελιηδέα καρπὸν
Τρὶς τοῦ ἔτους θάλλοντα φέρει ζείδωρος ἄρουρα.
Μηκέτ' ἔπειτ' ὤφειλον ἐγὼ πέμπτοισι μετεῖναι
Ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν, ἢ ἔπειτα γενέσθαι.
Νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέ ποτ' ἦμαρ
Παύσονται καμάτου καὶ ὀϊζύος, οὐδέ τι νύκτωρ

Edebant, sed ex adamante habebant durum animum,
Feroces: magna vero vis & manus invicta
Ex humeris nascebantur in validis membris.
His erant ænea arma, æneaque domus:
Aere vero operabantur: nigrũ enim nondũ erat ferrum.
Et hi quidem manibus propriis interfecti,
Descenderunt amplam in domum frigidi inferni,
Ignobiles: mors vero tametsi stupendi essent,
Invasit atra, splendidumque liquerunt lumen solis.
Sed postquam & hoc genus terra operuit,
Rursum aliud quartum in terra multorum altrice
Iupiter Saturnius fecit, iustius & melius,
Virorum heroum divinum genus: qui vocantur
Semidei, priori generatione, per immensam terram.
Hos quoque bellumque malum & pugna gravis,
Alios quidem ad septiportes Thebas, Cadmæam terram,
Perdidit pugnantes propter oves OEdipi:
Alios vero in navibus per ingentem maris vastitatem
Ad Troiam ducens, Helenæ gratia pulchricomæ:
Vbi mors quoque circumdedit ipsos.
Iis autem seorsim ab hominibus victũ & sedem tribuens
Iupiter Saturnius pater constituit eos ad terræ fines.
Et hi quidem habitant securum animum habentes
In beatorum insulis, iuxta Oceanum profundum,
Felices heroes: his dulcem fructum
Ter quotannis florentem profert fœcunda tellus.
O utinam ego quinto non interessem (natus,
Hominum generi: sed aut mortuus essem prius, aut postea
Nunc enim genus est ferreum: neque unquam aut die
Quiescent a labore & miseria aut nocte

Corrupti: graves vero dij dabunt curas.
Sed tamen & hisce admiscebuntur bona malis:
Iupiter autē perdet etiam hoc genus varie loquētium hominum,
Postquam facti circa tempora cani fuerint.
Neque pater liberis similis, neque liberi patri,
Neque hospes hospiti, neque amicus amico,
Neque frater amicus erit, ut antehac:
Statim vero senescentes dehonorabunt parentes.
Incusabunt autem illos molestis alloquentes verbis
Impij, neque deorum oculum veriti. neque hi sane
Senibus parentibus educationis præmia reddent,
Violenti. alter vero alterius civitatem diripiet:
Neque ulla pij gratia erit, neque iusti,
Neque boni. magis vero maleficum & iniurium
Virum colent. Iustitia vero in manibus, pudor autem
Non erit. Lædetque malus meliorem virum,
Verbis iniustis alloquens, periurium vero iurabit.
Livor autem homines miseros omnes
Malos rumores spargens, malis gaudens, comitabitur, inviso vultu.
Tum demum ad cælum a terra spatiosa,
Candidis vestibus tectæ corpus pulchrum,
Deorum ad familiam abierunt, relictis hominibus,
Pudor & Nemesis. relinquentur autem dolores graues
Mortalibus hominibus. mali vero non erit remedium.

Sed nunc fabulam a brutis desumptam regibus narrabo, quamvis ratione præditis.

Sic accipiter affatus est lusciniam canoram,
Alte in nubibus ferens, unguibus correptam:
Illa vero misere, curvis confixa unguibus
Lugebat: eam autem violento ille sermone allocutus est.

Infelix

Φθειρόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας.
Ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
Εὖτ' αὖ γινόμενοι πολιοκρόταφοι τελέθωσιν.
Οὐδὲ πατὴρ παίδεσσιν ὁμοίιος, οὐδέ τι παῖδες,
Οὐδὲ ξεῖνος ξεινοδόκῳ, καὶ ἑταῖρος ἑταίρῳ,
Οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ
Αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας.
Μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντ' ἐπέεσσι
Σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες, οὐδὲ μὲν οἵγε
Γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν,
Χειροδίκαι, ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει.
Οὐδέ τις εὐόρκου χάρις ἔσσεται, οὔτε δικαίου,
Οὔτ' ἀγαθοῦ· μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν
Ἀνέρα τιμήσουσι. δίκη δ' ἐν χερσὶ, καὶ αἰδὼς
Οὐκ ἔσται. βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα,
Μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται.
Ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν
Δυσκέλαδος, κακόχαρτος, ὁμαρτήσει, στυγερώπης·
Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης,
Λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν,
Ἀθανάτων μετὰ φῦλον ἴτον προλιπόντ' ἀνθρώπους
Αἰδὼς καὶ Νέμεσις· τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
Θνητοῖς ἀνθρώποισι. κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.
Νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω φρονέουσι καὶ αὐτοῖς.
Ὧ δ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον.
Ὕψι μάλ' ἐν νεφέεσσι φέρων, ὀνύχεσσι μεμαρπώς·
Ἡ δ' ἐλεὸν, γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι,
Μύρετο· τὴν δ' ὅγ' ἐπικρατέως πρὸς μῦθον ἔειπε·

Δαιμονίη, τί λέλακας, ἔχει νύ σε πολλὸν ἀρείων.
Τῇ δ' εἶς ᾗ σ' ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν·
Δεῖπνον δ' αἴκ' ἐθέλω ποιήσομαι, ἠὲ μεθήσω.
Ἄφρων δ' ὅς κ' ἐθέλοι πρὸς κρείσσονας ἀντιφερίζειν·
Νίκης τε στέρεται, πρὸς τ' αἴσχεσιν, ἄλγεα πάσχει.
Ὣς ἔφατ' ὠκυπέτης ἴρηξ τανυσίπτερος ὄρνις.
Ὦ Πέρση· σὺ δ' ἄκουε δίκης, μηδ' ὕβριν ὄφελλε.
Ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ· οὐδὲ μὲν ἐσθλὸς
Ῥηϊδίως φερέμεν δύναται, βαρύθει δέ θ' ὑπ' αὐτῆς,
Ἐγκύρσας ἄτῃσιν· ὁδὸς δ' ἑτέρηφι παρελθεῖν
Κρείσσων ἐς τὰ δίκαια· δίκη δ' ὑπὲρ ὕβριος ἴσχει,
Ἐς τέλος ἐξελθοῦσα. παθὼν δέ τε νήπιος ἔγνω.
Αὐτίκα γὰρ τρέχει ὅρκος ἅμα σκολιῇσι δίκῃσιν.
Τῆς δὲ Δίκης ῥόθος ἑλκομένης ᾗ κ' ἄνδρες ἄγωσι
Δωροφάγοι, σκολιαῖς δὲ δίκαις κρίνωσι θέμιστας.
Ἡ δ' ἕπεται κλαίουσα πόλιν τε καὶ ἤθεα λαῶν,
Ἠέρα ἑσσαμένη, κακὸν ἀνθρώποισι φέρουσα
Οἵ τε μιν ἐξελάσουσι, καὶ οὐκ ἰθεῖαν ἔνειμαν.
Οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσιν
Ἰθείας, καὶ μή τι παρεκβαίνουσι δικαίου,
Τοῖσι τέθηλε πόλις· λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ·
Εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος, οὐδέ ποτ' αὐτοῖς
Ἀργαλέον πόλεμον τεκμαίρεται εὐρύοπα Ζεύς·
Οὐδέ ποτ' ἰθυδίκαισι μετ' ἀνδράσι λιμὸς ὀπηδεῖ,
Οὐδ' ἄτη, θαλίῃς δὲ μεμηλότα ἔργα νέμονται.
Τοῖσι φέρει μὲν γαῖα πολὺν βίον. οὔρεσι δὲ δρῦς
Ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας·
Εἰροπόκοι δ' ὄιες μαλλοῖς καταβεβρίθασι·
Τίκτουσιν δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσιν·

Θάλλου·

Infelix quid strepis? habet te multo fortior:
Hac vadis, qua te duco, licet sis cantatrix.
Vtrum vero libet vel epulabor te, vel dimittam.
Imprudens autem, quicunque velit cum potentioribus
contendere: (pariter
Quippe victoria privatur, & praeter convitia dolores.
Sic ait velox accipiter, latis alis praedita avis.
O Persa, tu vero audi iustitiam, neque iniuriam fove.
Iniuria enim perniciosa est misero homini: nā nec bonus
Facile ferre eam potest, gravaturque ab ipsa,
Quoties in damna incidit. Via vero altera perveniendi
Melior ad iusta: Iustitia enim super iniuriam valet,
Tandem: stultus vero cum malo suo discit.
Continuo enim sequitur periurium iniustis iudiciis.
Iustitiae vero strepitus excitatur tractae quocūq; homines
Donivori, pravisq; iudiciis iudicarint causas. (duxerint
Haec vero sequitur deflens urbemq; & mores populorum,
Caligine involuta, malum hominibus adferens
Qui ipsam expellunt, neque recte distribuunt.
At qui iura tam hospitibus quam popularibus dant
Recta, neque a iusto quicquam exorbitant,
Iis viget urbs, populique florent in ipsa:
Pax vero per terram alma, neque unquam ipsis
Molestum bellum parat late cernens Iupiter,
Nec umquam iustos inter homines fames versatur,
Neq; noxa: fructus autē colligunt florentes. (quercus
Fert quippe iis terra multum victum: in montibus vero
Summa quidem fert glandes, media vero apes:
Lanigerae autem oves velleribus onustae sunt:
Pariunt vero mulieres similes parentibus liberos:

Florentque bonis perpetuo, neque navibus
Navigant: fructum vero profert fœcundus ager.
Quibus vero cõtra iniuria mala cura est, pravaq; opera,
Iis pœnam Saturnius parat late cernens Iupiter:
Sæpeque universa civitas malum ob virum punitur,
Qui peccat, & iniqua machinatur.
Illis autem cœlitus magnum adduxit malum Saturnius,
Famem simul & pestem: intereunt vero populi,
Neque mulieres pariunt, decrescuntque familiæ,
Iovis Olympij consilio. interdum vero rursus
Aut horum exercitum ingentem perdidit aut murum,
Aut naves in ponto Saturnius punit ipsorum.
O reges: vos autem considerate etiam ipsi
Iustitiam hanc. prope enim inter homines versantes
Dij vident, quotquot pravis iudiciis
Se mutuo atterunt, nullam deorũ reverentiam curantes.
Ter enim decies mille sunt in terra multorum altrice,
Dij Iovis, custodes mortalium hominum:
Qui iudicia observant, & prava opera,
Caligine involuti, passim oberrantes per terram.
Virgo autem est Iustitia, Iove prognata,
Claraque & veneranda diis qui cœlum habitant.
Et certe, cum quis ipsam læserit, iniuste conviciando,
Statim apud Iovem patrem considens Saturnium,
Conqueritur hominum iniquam mentem: ut luat
Populus peccata regum, qui prava cogitantes
Alio deflectunt iudicia, iniuste sententiam pronuntiantes.
Hæc caventes, o reges, corrigite ea quæ dicitis,
Dorivori: iniustorumq; iudiciorũ prorsus obliviscamini.
Sibi ipsi mala fabricatur vir, alij mala fabricans,

Malum-

Θάλλουσιν δ' ἀγαθοῖσι διαμπερές· οὐδ' ἐπὶ νηῶν
Νείσσονται, καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα.
Οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
Τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς.
Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἐπαυρεῖ,
Ὅς τις ἀλιτραίνει καὶ ἀτάσθαλα μηχανάαται.
Τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
Λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί.
Οὐδὲ γυναῖκες τίκτουσιν· μινύθουσι δὲ οἶκοι,
Ζηνὸς φραδμοσύνῃσιν ὀλυμπίου. ἄλλοτε δ' αὖτε
Ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τεῖχος,
Ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίννυται αὐτῶν.
Ὦ βασιλεῖς, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
Τήνδε δίκην· ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
Ἀθάνατοι λεύσσουσιν ὅσοι σκολιῇσι δίκῃσι
Ἀλλήλους τρίβουσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες.
Τρὶς γὰρ μύριοι εἰσὶν ἐπὶ χθονὶ πολυβοτείρῃ
Ἀθάνατοι Ζηνὸς, φύλακες θνητῶν ἀνθρώπων·
Οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
Ἠέρα ἑσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν.
Ἡ δέ τε παρθένος ἐστὶ Δίκη, Διὸς ἐκγεγαυῖα,
Κυδρή τ' αἰδοίη τε θεοῖς οἳ ὄλυμπον ἔχουσιν.
Καί ῥ' ὁπότ' ἄν τίς μιν βλάπτῃ σκολιῶς ὀνοτάζων,
Αὐτίκα πὰρ Διῒ πατρὶ καθεζομένη Κρονίωνι
Γηρύετ' ἀνθρώπων ἄδικον νόον, ὄφρ' ἀποτίσῃ
Δῆμος ἀτασθαλίας βασιλέων, οἳ λυγρὰ νοεῦντες
Ἄλλῃ παρκλίνουσι δίκας, σκολιῶς ἐνέποντες.
Ταῦτα φυλασσόμενοι βασιλῆες ἰθύνετε μύθους,
Δωροφάγοι, σκολιῶν δὲ δικῶν ἐπὶ πάγχυ λάθεσθε.
Οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων.

Ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.
Πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας,
Καί νυ τάδ᾽ αἴκ᾽ ἐθέλῃσ᾽, ἐπιδέρκεται, οὐδέ ἑ λήθει
Οἵην δὴ καὶ τήνδε δίκην πόλις ἐντὸς ἐέργει.
Νῦν δ᾽ ἐγὼ μήτ᾽ αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
Εἴην, μήτ᾽ ἐμὸς υἱός· ἐπεὶ κακὸν ἄνδρα δίκαιον
Ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει.
Ἀλλὰ τάγ᾽ οὔπω ἔολπα τελεῖν Δία τερπικέραυνον.
Ὦ Πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσιν·
Καί νυ δίκης ἐπάκουε, βίης δ᾽ ἐπιλήθεο πάμπαν.
Τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων,
Ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεεινοῖς,
Ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶν ἐπ᾽ αὐτοῖς·
Ἀνθρώποισι δ᾽ ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη
Γίνεται. εἰ γάρ τις κ᾽ ἐθέλῃ τὰ δίκαι᾽ ἀγορεύειν
Γινώσκων, τῷ μέν τ᾽ ὄλβον διδοῖ εὐρύοπα Ζεύς·
Ὃς δέ κε μαρτυρίῃσιν ἑκὼν ἐπίορκον ὀμόσσας
Ψεύσεται, ἐν δὲ δίκην βλάψας, νήκεστον ἀάσθη.
Τοῦδέ τ᾽ ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται·
Ἀνδρὸς δ᾽ εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.
Σοὶ δ᾽ ἐγὼ ἐσθλὰ νοέων ἐρέω μέγα νήπιε Πέρση.
Τὴν μέν τοι κακότητα καὶ ἰλαδόν ἐστιν ἑλέσθαι
Ῥηϊδίως· ὀλίγη μὲν ὁδός, μάλα δ᾽ ἐγγύθι ναίει·
Τῆς δ᾽ ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι, μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ᾽ αὐτήν,
Καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ᾽ εἰς ἄκρον ἵκηται,
Ῥηϊδίη δ᾽ ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα.
Οὗτος μὲν πανάριστος ὃς αὐτῷ πάντα νοήσει,
Φρασσάμενος τά κ᾽ ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω·
Ἐσθλὸς δ᾽ αὖ κἀκεῖνος ὃς εὖ εἰπόντι πίθηται·

Malumque consilium ei qui concepit, pessimum.
Omnia videns Iovis oculus, omniaque intelligens;
Et hæc (siquidem vult) inspicit: neque ipsum latet
Qualenam hoc quoq; iudicium civitas intus exerceat.
Ego porro nec ipse nunc inter homines iustus
Sim, nec meus filius: quando malum est iustum
Esse: siquidem plus iuris iniustior habebit.
Sed hæc nondũ arbitror facturũ Iovẽ fulmine gaudentẽ.
O Persa, cæterũ tu hæc in animo tuo repone, (prorsus.
Et iustitiæ quidẽ animũ adijce, violẽtiæ vero obliviscere
Namque hanc hominibus legem posuit Saturnius:
Piscibus quidem & feris & avibus volucribus,
Se mutuo ut devorent, quandoquidem iustitia carent:
Hominibus autem dedit iustitiam, quæ multo optima
Est. Si quis enim velit iusta in publico dicere,
Quæ novit, ei opes largitur late videns Iupiter:
Qui vero testimoniis volens periurium iurãdo (læditur.
Mentietur, adversus iustitiã delinquẽs immedicabiliter
Atque eius obscurior posteritas postea relinquitur.
Viri autem iusti generatio apud posteros præstantior.
Cæterum tibi ego bene cupiens dicam, stultissime Persa:
Malitiam quidem cumulatim etiam capere
Facile est: brevis quippe via est, & in proximo habitat.
Ante virtutem vero sudorem dij posuerunt
Immortales; longa vero atque ardua via est ad ipsam,
Primumq; aspera: ubi vero ad summum ventum fuerit,
Facilis deinceps est, quantumvis difficilis fuerit.
Et ille quidem optimus est, qui sibi ipsi per omnia sapit,
Cogitans quæcunq; dein & ad finem usque sint meliora.
Sed & ille bonus est, qui bene monenti paruerit.

Qui vero nec sibi sapit, neque alium audiens
Id in animum admittit, ille contra homo inutilis est.
Verum tu nostri semper praecepti memor,
Operare, ô Persa, divinum genus, ut te fames
Oderit, amet autem pulchre coronata Ceres,
Veneranda, victuque tuam impleat casam.
Fames namque semper ignavo comes est viro.
Atq; eundē & dij oderunt, & homines, quicunq; ociosus
Vivit; fucis aculeo carentibus similis studio,
Qui apum laborem absumunt ociosi,
Vorantes, tibi vero opera maxima obire gratum sit,
Vt tibi tempestivo victu impleantur horrea.
Ex laboribus autem viri evadunt pecorosi & opulenti.
Et laborans, multo etiam charior iam immortalibus
Eris, ac hominibus. valde enim oderunt ociosos.
Operari autem non est dedecus, sed ignavia dedecus est.
Quod si laboraveris, mox te æmulabitur & ociosus
Ditescentem: divitias vero virtus & gloria comitatur.
Deo autem similis fueris. Laborare inquam melius:
Si quidem ab alienis facultatibus stolidum animum
Ad opus convertens de victu sis sollicitus, sicut te iubeo.
Pudor autem non bonus indigentem virum tenet.
Pudor qui viros valde & lædit & iuvat.
Pudor quidem paupertati adsit, audacia vero divitiis.
Opes vero non rapiendæ: divinitus enim datæ, multo
meliores.
Si quis nāq; & manibus per vim magnas opes traxerit,
Aut lingua spoliarit (qualia multa
Fiunt, quam primum lucri amor mentem deceperit
Hominum: pudorem vero impudentia expulerit)

Facile

Ὃς δέ κε μήθ' αὐτῷ νοέῃ, μήτ' ἄλλου ἀκούων
Ἐν θυμῷ βάλληται, ὃδ' αὖτ' ἀχρήϊος ἀνήρ.
Ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς
Ἐργάζευ Πέρση, δῖον γένος, ὄφρα σε λιμὸς
Ἐχθαίρῃ, φιλέῃ δὲ ἐϋστέφανος Δημήτηρ
Αἰδοίη. βιότου δὲ τεὴν πιμπλῆσι καλιήν.
Λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.
Τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
Ζώῃ, κηφήνεσσι κοθούροις ἴκελος ὁρμήν,
Οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
Ἐσθίοντες. σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
Ὥς κέ τοι ὡραίου βιότου πλήθωσι καλιαί·
Ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε.
Καί τ' ἐργαζόμενος, πολὺ φίλτερος ἀθανάτοισιν
Ἔσσεαι ἠδὲ βροτοῖς· μάλα γὰρ στυγέουσιν ἀεργούς.
Ἔργον δ' οὐδὲν ὄνειδος· ἀεργίη δέ τ' ὄνειδος.
Εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς
Πλουτεῦντα· πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.
Δαίμονι δ' οἷος ἔησθα· τὸ ἐργάζεσθαι ἄμεινον,
Εἴ κεν ἀπ' ἀλλοτρίων κτεάνων ἀεσίφρονα θυμὸν
Εἰς ἔργον τρέψας, μελετᾷς βίου ὥς σε κελεύω.
Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει.
Αἰδὼς ἥτ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι.
Αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ.
Χρήματα δ' οὐχ ἁρπακτά· θεόσδοτα πολλὸν ἀμείνω.
Εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,
Ἢ ὅγ' ἀπὸ γλώσσης ληΐσσεται, (οἷά τε πολλὰ
Γίνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
Ἀνθρώπων, αἰδῶ δέ τ' ἀναιδείη κατοπάζῃ)

Ῥεῖα τέ μιν μαυροῦσι θεοί, μινύθουσι δὲ οἶκοι
Ἀνέρι τῷ, παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.
Ἶσον δ' ὅς θ' ἱκέτην ὅς τε ξεῖνον κακὸν ἔρξει·
Ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνοι.
Κρυπταδίης εὐνῆς ἀλόχου, παρακαίρια ῥέζων·
Ὅς τέ τευ ἀφραδίης ἀλιταίνεται ὀρφανὰ τέκνα·
Ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ
Νεικείῃ χαλεποῖσι καθαπτόμενος ἐπέεσσιν.
Τῷ δή τοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελευτὴν
Ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.
Ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἔεργ' ἀεσίφρονα θυμόν,
Καδδύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν
Ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἀγλαὰ μηρία καίειν.
Ἄλλοτε δὲ σπονδῇσι θύεσσί τε ἱλάσκεσθαι,
Ἡ μὲν ὅτ' εὐνάζῃ, καὶ ὅταν φάος ἱερὸν ἔλθῃ·
Ὥς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν·
Ὄφρ' ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλος.
Τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι.
Τὸν δὲ μάλιστα καλεῖν, ὅς τις σέθεν ἐγγύθι ναίει.
Εἰ γάρ τοι καὶ χρῆμ' ἐγχώριον ἄλλο γένηται,
Γείτονες ἄζωστοι ἔκιον, ζώσαντο δὲ πηοί.
Πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ.
Ἔμμορέ τοι τιμῆς ὅς τ' ἔμμορε γείτονος ἐσθλοῦ.
Οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.
Εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι,
Αὐτῷ τῷ μέτρῳ, καὶ λώϊον, αἴκε δύνηαι·
Ὡς ἂν χρηΐζων καὶ ἐς ὕστερον ἄρκιον εὕρῃς.
Μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ' ἄτῃσιν.
Τὸν φιλέοντα φιλεῖν, καὶ τῷ προσιόντι προσεῖναι.

Καὶ

Facile & illum obscurant dij, minuuntur vero familiæ
Viro illi: exiguum vero ad tempus divitiæ adsunt.
Par est delictum, si quis supplicē & hospitē malo afficiat:
Quique fratris sui cubilia ascenderit,
Secreti causa lecti uxoris, scelerata patrans: (ros:
Quiq; mala cuiuspiam fraude deceperit orphanos libe-
Quiq; parentem senem misero in senectæ limine
Probris affecerit, gravibus incessens verbis:
Huic certe Iupiter irascitur. ad extremum vero
Pro operibus iniquis gravem exhibet talionem.
Verū tu quidem ab his omnino cohibe stultum animum.
Pro viríli autem sacra facito immortalibus diis
Caste & pure, splendidaque femora adurito.
Interdum certe libaminibus atque hostiis placa, (nerit:
Et quando cubitum ieris, & quando matutinū tēpus ve-
Vt benevolum erga te cor atque animum habeant,
Vt aliorum emas sortem, non tuam alius.
Amicum ad convivium vocato, inimicum vero relinq;.
Eum vero potissimum vocato, quicunq; te prope habitat.
Si enim res aliqua fortuita eveniat,
Vicini discincti accurrunt, cinguntur autem cognati.
Noxa tam magna est malus vicinus, quantum bonus commodum.
Nactus est bonum, quicunq; nactus est vicinum bonum.
Neque bos interierit, nisi vicinus malus sit. (redde:
Recta quidem mensura a vicino mutuum accipe, rectaq;
Eadem mensura, & amplius, si quidem possis:
Vt indigens, etiam in posterum promptum invenias.
Ne mala lucra captes: mala lucra æqualia damnis.
Amantem te ama, & iuvantem te iuva.

Et da ei qui dederit, neque da qui non dederit.
Datori namque est qui dat, non danti vero nemo dat.
Donatio bona, rapina vero mala atque lethifera.
Quicunq; etenim vir sponte sua dat, etsi multũ dederit,
Gaudet donando, & delectatur suo in animo.
Qui vero ipse rapuerit, impudentia fretus,
Quamvis id sit exiguum, tamẽ vexat charũ animum.
Siquidem enim parvum parvo addideris,
Et frequẽter istud feceris, mox magnum & hoc evaserit.
Qui vero partis adijcit, is vitabit atram famem.
Neque vero quod domi repositum est, virum lædit.
Domi melius esse: quoniam noxium quod foris est.
Bonum quidem de præsenti capere: noxa vero animo
Egere absente: id quod te cogitare iubeo.
Incipiente vero dolio & desinente, saturato te,
Medio parce: sera in fundo parsimonia.
Merces autem viro amico constituta sufficiens esto.
Etiam cum fratre ludens, testem adhibeto:
Credulitas pariter ac diffidentia perdunt homines.
Ne vero mulier te animo nates succincta decipiat,
Blande garriens, tuum inquirens tugurium.
Qui namque mulieri confidit, confidit is furibus.
Vnicus vero filius servarit paternam domum
Pascendo: ita enim opulentia crescet in ædibus.
Senex autem moriaris, alium filium relinquens.
Facile vero & pluribus præbuerit Iupiter ingentes opes:
Maior autem plurium cura, maior quoque accessio.
Tibi vero si opes animus appetit intra sese,
Sic facito. operamque operæ subinde addito.

Καὶ δόμεν ὅς κεν δῷ, καὶ μὴ δόμεν ὅς κεν μὴ δῷ.
Δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ' οὔτις ἔδωκεν.
Δὼς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.
Ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅγε κἂν μέγα δώῃ,
Χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν.
Ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας,
Καί τε σμικρὸν ἐὸν, τότ' ἐπάχνωσεν φίλον κῆρ.
Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρὸν καταθεῖο,
Καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.
Ὃς δ' ἐπ' ἐόντι φέρει, ὁ δ' ἀλύξεται αἴθοπα λιμόν.
Οὐδὲ τόγ' εἰν οἴκῳ κατακείμενον ἀνέρα κήδει.
Οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφι.
Ἐσθλὸν μὲν παρεόντος ἑλέσθαι, πῆμα δὲ θυμῷ
Χρηΐζειν ἀπεόντος, ἅ σε φράζεσθαι ἄνωγα.
Ἀρχομένου δὲ πίθου καὶ λήγοντος κορέσασθαι,
Μεσσόθι φείδεσθαι· δειλὴ δ' ἐνὶ πυθμένι φειδώ.
Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω.
Καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.
Πίστεις δ' ἄρα ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.
Μηδὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω,
Αἱμύλα κωτίλλουσα, τεὴν διφῶσα καλιήν.
Ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅγε φιλήτῃσι.
Μουνογενὴς δὲ πάϊς σώζοι πατρώϊον οἶκον
Φερβέμεν· ὣς γὰρ πλοῦτος ἀέξεται ἐν μεγάροισι.
Γηραιὸς δὲ θάνοις ἕτερον παῖδ' ἐγκαταλείπων.
Ῥεῖα δέ κεν πλεόνεσσι πόροι Ζεὺς ἄσπετον ὄλβον.
Πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη.
Σοὶ δ' εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶν ᾗσι,
Ὧδ' ἔρδειν, ἔργον δὲ τ' ἐπ' ἔργῳ ἐργάζεσθαι.

ΒΙΒΛΙΟΝ β'.

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων
Ἄρχεσθ' ἀμητοῦ· ἀρότοιο δὲ, δυσομενάων.
Αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
Κεκρύφαται, αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
Φαίνονται, τὰ πρῶτα χαρασσομένοιο σιδήρου.
Οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης
Ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα
Πόντου κυμαίνοντος ἀπόπροθι πίονα χῶρον
Ναίουσιν. γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν,
Γυμνὸν δ' ἀμάασθαι, εἴ χ' ὥρια πάντ' ἐθέλησθα
Ἔργα κομίζεσθαι Δημήτερος· ὥς τοι ἕκαστα
Ὥρι' ἀέξηται, μή πως τὰ μεταξὺ χατίζων
Πτώσσῃς ἀλλοτρίους οἴκους, καὶ μηδὲν ἀνύσσῃς.
Ὡς καὶ νῦν ἐπ' ἔμ' ἦλθες· ἐγὼ δέ τοι οὐκ ἐπιδώσω,
Οὐδ' ἐπιμετρήσω. ἐργάζευ νήπιε Πέρση
Ἔργα, τάτ' ἀνθρώποισι θεοὶ διετεκμήραντο.
Μήποτε σὺν παίδεσσι γυναικί τε θυμὸν ἀχεύων,
Ζητεύῃς βίοτον κατὰ γείτονας· οἱ δ' ἀμελῶσιν.
Δὶς μὲν γὰρ καὶ τρὶς τάχα τεύξεαι. ἢν δ' ἔτι λυπῇς,
Χρῆμα μὲν οὐ πρήξεις, σὺ δ' ἐτώσια πόλλ' ἀγορεύσεις·
Ἀχρεῖος δ' ἔσται ἐπέων νομός. ἀλλά σ' ἄνωγα
Φράζεσθαι χρειῶν τε λύσιν, λιμοῦ τ' ἀλεωρήν.
Οἶκον μὲν πρώτιστα, γυναῖκά τε, βοῦν τ' ἀροτῆρα·
Κτητήν, οὐ γαμετήν, ἥτις καὶ βουσὶν ἕποιτο·
Χρήματα δ' εἰν οἴκῳ πάντ' ἄρμενα ποιήσασθαι·
Μὴ σὺ μὲν αἰτῇς ἄλλον, ὁ δ' ἀρνῆται, σὺ δὲ τητᾷ.
Ἡ δ' ὥρη παραμείβηται, μινύθῃ δέ τοι ἔργον.
Μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τ' ἔννηφιν.

Οὐ

LIBER II.

PLeiadibus Atlante natis exorientibus;
Incipe messem, arationem vero occidentibus.
Hæ quidem noctesque & dies quadraginta
Latent: rursum vero circumvoluente se anno
Apparent, primum ut acuitur ferrum.
Hæc utique aruorum est regula: quique mare
Prope habitant, quique valles flexuosas
Mari fluctuante procul pinguem regionem
Habitant. Nudus serito, nudusque arato,
Nudus quoq; metito: si quidem tempestiva omnia voles
Opera ferre Cereris, ut tibi singula
Tempestiva crescant, ne quando interim egens
Mendices ad alienas domos, nihilque efficias. (dabo,
Sicut & nunc ad me venisti: ego vero tibi non amplius
Neque amplius mutuo tradam. Labora stolide Persa,
Opera quæ hominibus dii destinarunt:
Ne quando cum liberis uxoreque animo dolens,
Quæras victum per vicinos; hi vero negligant. (fueris,
Bis enim & ter forsitã cõsequeris: si vero amplius molestus
Rem quidem non facies, tu vero inania multa dices.
Inutilis autem erit verborum copia. Sed te iubeo
Cogitare debitique solutionem, famisque evitationem.
Domum quidem primum, uxoremq; bovemq; aratorem,
Famulam non nuptam, quæ & boves sequatur:
Utensilia vero domi omnia apta facito:
Ne tu quidẽ petas ab alio, illeque recuset, tu vero careas.
Tempus autem prætereat, minuaturque tibi opus.
Ne vero differas inque crastinum, inque perendinum,

Non enim laboris fugitàns vir implet horreum,
Neque procrastinator. Cura vero tibi opes auget.
Semper autem dilator operum vir cum damnis luctatur.
Quum itaque iam desinit robur acuti solis
A calore humido, per autumnum pluente
Iove præpotente, mutatur humanum corpus
Multo levius. (nam tunc Solis stella
Paulisper supra caput fato obnoxiorum hominum
Venit interdiu, magis autem nocte fruitur)
Quando incorrupta est cæsa ferro
Sylva, folia autem humi fundit, ab ramisque cessat :
Tunc sane ligna signare, tempestivũ esse opus memento.
Mortarium quidẽ tripedale seca, pistillũ vero tricubitale,
Axemq; septempedalem. valde enim certe cõveniens sic.
Si vero octopedalẽ & malleum inde secueris, (currui.
Trium palmorum curvaturã rotæ seccato decẽ palmorum
Multa præterea curva ligna: ferto autẽ dentale cum in-
Domum, sive in monte quærens, sive in agro, (veneris,
Ilignum. hoc enim bobus ad arandum firmissimum est:
Nempe quum Atticæ Cereris famulus temoni insigens
Clavis adiunctum stivæ adaptaverit.
Bina vero disponito aratra, laborans domi :
Dentatum & compactum: quoniam multo optimum sic.
Si quidem alterum fregeris, alterum bobus inijcias.
E lauro autem vel ulmo firmissimæ stivæ sunt. (nes
E quercu temonẽ, ex ilice dentale. boves vero duos novẽ-
Masculos cõparato (horum enim robur nõ imbecillum est)
Qui modica ætate sint. hi ad laborandum optimi.
Non utique hi contendentes in sulco aratrum
Fregerint, opus vero imperfectum reliquerint,

Οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλιήν,
Οὐδ' ἀναβαλλόμενος. μελέτη δέ τοι ἔργον ὀφέλλει.
Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.
Ἦμος δὴ λήγει μένος ὀξέος ἠελίοιο
Καύματος ἰδαλίμου, μετοπωρινὸν ὀμβρήσαντος
Ζηνὸς ἐρισθενέος, μετὰ δὲ τρέπεται βρότεος χρὼς
Πολλὸν ἐλαφρότερος (δὴ γὰρ τότε σείριος ἀστὴρ
Βαιὸν ὑπὲρ κεφαλῆς κηριτρεφέων ἀνθρώπων
Ἔρχεται ἠμάτιος, πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ.)
Ἦμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ
Ὕλη, φύλλα δ' ἔραζε χέει, πτόρθοιό τε λήγει·
Τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ὥριον ἔργον.
Ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν,
Ἄξονά θ' ἑπταπόδην· μάλα γάρ νύ τοι ἄρμενον οὕτω·
Εἰ δέ κεν ὀκταπόδην ἀπὸ καὶ σφῦραν κε τάμοιο,
Τρισπίθαμον δ' ἄψιν τάμνειν δεκαδώρῳ ἀμάξῃ.
Πόλλ' ἐπὶ καμπύλα κᾶλα· φέρειν δὲ γύην, ὅτ' ἂν εὕρῃς
Εἰς οἶκον, κατ' ὄρος διζήμενος ἢ κατ' ἄρουραν,
Πρίνινον· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν·
Εὖτ' ἂν Ἀθηναίης δμῶος ἐν ἐλύματι πήξας
Γόμφοισιν πελάσας προσαρήρεται ἱστοβοῆϊ.
Δοιὰ δὲ θέσθαι ἄροτρα πονησάμενος κατὰ οἶκον,
Αὐτόγυον καὶ πηκτόν· ἐπεὶ πολὺ λώϊον οὕτω.
Εἴ χ' ἕτερον γ' ἄξαις, ἕτερόν γ' ἐπὶ βουσὶ βάλοιο,
Δάφνης δ' ἢ πτελέης ἀκιώτατοι ἱστοβοῆες.
Δρυὸς ἔλυμα, πρίνου γύην. βόε δ' ἐνναετήρω
Ἄρσενε κεκτῆσθαι· τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν·
Ἥβης μέτρον ἔχοντε· τὼ ἐργάζεσθαι ἀρίστω.
Οὐκ ἂν τώ γ' ἐρίσαντες ἐν αὔλακι κάμμεν ἄροτρον
Ἄξειαν, τὸ δὲ ἔργον ἐτώσιον αὖθι λίποιεν.

Τοῖς δ' ἅμα τεσσαρακονταέτης αἰζηὸς ἕποιτο,
Ἄρτον δειπνήσας τετράτρυφον, ὀκτάβλωμον·
Ὅς κ' ἔργου μελετῶν ἰθεῖαν αὔλακ' ἐλαύνοι,
Μηκέτι παπταίνων μεθ' ὁμήλικας, ἀλλ' ἐπὶ ἔργῳ
Θυμὸν ἔχων. τοῦ δ' ἔτι νεώτερος ἄλλος ἀμείνων
Σπέρματα δάσσασθαι, καὶ ἐπισπορίην ἀλέασθαι.
Κουρότερος γὰρ ἀνὴρ μεθ' ὁμήλικας ἐπτοίηται.
Φράζεσθαι δ' εὖτ' ἂν φωνὴν γεράνου ἐπακούσῃς
Ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης·
Ἥ τ' ἀρότοιό τε σῆμα φέρει, καὶ χείματος ὥρην
Δεικνύει ὀμβρηροῦ· κραδίην δ' ἔδακ' ἀνδρὸς ἀβούτεω.
Δὴ τότε χορτάζειν ἕλικας βόας ἔνδον ἐόντας·
Ῥηΐδιον γὰρ ἔπος εἰπεῖν, βόε δὸς καὶ ἄμαξαν·
Ῥηΐδιον δ' ἀπανήνασθαι, πάρα δ' ἔργα βόεσσιν.
Φησὶ δ' ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἄμαξαν.
Νήπιος, οὐδὲ τό γ' οἶδ', ἑκατὸν δέ τε δούρατ' ἀμάξης,
Τῶν πρόσθεν μελέτην ἐχέμεν οἰκήια θέσθαι.
Εὖ τ' ἂν δὲ πρώτιστ' ἄροτος θνητοῖσι φανείη,
Δὴ τότ' ἐφορμηθῆναι ὁμῶς δμῶές τε καὶ αὐτὸς
Αὔην καὶ διερὴν ἀρόων, ἀρότοιο καθ' ὥρην·
Πρωῒ μάλα σπεύδων ἵνα τοι πλήθωσιν ἄρουραι.
Ἔαρι πολεῖν· θέρεος δὲ νεωμένη οὔ σ' ἀπατήσει.
Νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν.
Νειὸς ἀλεξιάρη, παίδων εὐκηλήτειρα.
Εὔχεσθαι δὲ Διῒ χθονίῳ, Δημήτερί θ' ἁγνῇ,
Ἐκτελέα βρίθειν Δημήτερος ἱερὸν ἀκτήν.
Ἀρχόμενος τὰ πρῶτ' ἀρότου, ὅταν ἄκρον ἐχέτλης
Χειρὶ λαβὼν, ὅρπηκα βοῶν ἐπὶ νῶτον ἵκηαι
Ἔνδρυον ἑλκόντων μεσάβων. ὁ δὲ τυτθὸς ὄπισθεν
Δμῶος ἔχων μακέλην, πόνον ὀρνίθεσσι τιθείη,

Σπέρ-

Hos autem simul quadragenarius iuvenis sequatur,
Panem cœnatus quadrifidum octo morsuum,
Qui quidem opus curans rectum sulcum ducat,
Non amplius respectans ad coætaneos; sed in opere
Animum habens. Hoc vero neq; iunior alius melior
Ad spargendum semina, & iteratã satione evitandum.
Iunior enim vir ad coætaneos evolat animo.
Considera vero, cum vocem gruis audieris
Alte ex nubibus quotannis clangentis,
Quæ & arationis signum affert, & hyemis tempus
Indicat pluviæ: cor autem rodit viri bobus carentis.
Tunc sane pasce curvos boves, domi detinens.
Facile enim dictu est, par boum da & plaustrum:
Facile autẽ recusare, & dicere boves occupati sũt. (currũ.
Cõstituit autẽ, homo qui opinione sua dives est fabricare
Stultus. & hoc nescit, centum esse ligna plaustri.
Horum ante curam habere oportet, ut acquirat sibi.
Cum primum igitur aratio mortalibus apparuerit,
Tunc aggredere, simul & servi & tu ipse,
Siccam & humidam arans, arationis ad tempus,
Summo mane festinans, ut impleantur tibi arva.
Vere vertito, æstate vero iterata non te fallat.
Novalem vero serito adhuc levem terram.
Novalis imprecationũ expultrix, liberorũ placatrix est.
Supplica vero Iovi terrestri, Cererique castæ,
Proventum ut impleant, Cereris sacrum munus.
Vt primum incipias arare, cum extremum stivæ
Manu capiens, stimulo boum terga attigeris
Quernum temonẽ trahentium loro. iuvenis autẽ pone
Servus, ligonem tenens, negotium avibus facessat,

Semina abscondens. Industria enim optima
Mortalibus hominibus est; ignavia vero pessima.
Sic quidem ubertate spicæ nutabunt ad terram,
Si finem ipse postea Iupiter bonum præbuerit:
E vasis autem eiicies araneas: teque arbitror
Gavisurum, victu potitum intus reposito.
Lætus autem pervenies ad canum ver, neque ad alios
Respicies. tui vero alius vir indigus erit.
Si vero ad solis conversionem araveris terram almam,
Sedens metes, pauxillum manu comprehendens,
Obversim manipulans cum labore, nec valde gaudens.
Feres autem in sporta: pauci vero te suspicient.
Alias vero alia Iovis mens Ægiochi:
Sed mortalibus hominibus eam deprehendere difficile.
Sin autē sero araveris, hoc quidē tibi remedium fuerit:
Quando cuculus canit quercus in frondibus
Primum, delectatque mortales in immensa terra:
Tunc Iupiter pluat triduo, neque desinat,
Non utique supra bovis ungulam, neque infra:
Ita & serotina aratio tempestiva æqualis fuerit.
Animo autem bene omnia reconde. neque te lateat
Neque ver exoriens canum, neque tempestiva pluvia.
Præteri autem æneam sedem, & calidam tabernam,
Tempore hyberno, cum frigus homines vehemens
Detinet: tunc sane impiger vir valde domum auget.
Ne te malæ hyemis difficultas opprimat (premas.
Cum paupertate: macilenta vero crassum pedem manu
Multa vero ignavus vir vanam ob spem expectans,
Egens victus mala animum suum increpat.
Spes vero non bona indigentem virum fovet,

Sedens

Σπέρματα κακρύπτων. εὐθημοσύνη γὰρ ἀρίστη
Θνητοῖς ἀνθρώποις, κακοθημοσύνη δὲ κακίστη.
Ὧδέ κεν ἀδροσύνῃ στάχυες νεύοιεν ἔραζε,
Εἰ τέλος αὐτὸς ὄπισθεν Ὀλύμπιος ἐσθλὸν ὀπάζοι,
Ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια· καί σε ἔολπα
Γηθήσειν, βιότοιο ἐρεύμενον ἔνδον ἐόντος.
Εὐοχέων δ' ἵξεαι πολιὸν ἔαρ· οὐδὲ πρὸς ἄλλους
Αὐγάσεαι· σέο δ' ἄλλος ἀνὴρ κεχρημένος ἔσται.
Εἰ δέ κεν ἠελίοιο τροπαῖς ἀρόσῃς χθόνα δῖαν,
Ἥμενος ἀμήσεις, ὀλίγον περὶ χειρὸς ἐέργων,
Ἀντία δεσμεύων κεκονιμένος, οὐ μάλα χαίρων·
Οἴσεις δ' ἐν φορμῷ· παῦροι δέ σε θηήσονται.
Ἄλλοτε δ' ἀλλοῖος Ζηνὸς νόος αἰγιόχοιο,
Ἀργαλέος δ' ἄνδρεσσι καταθνητοῖσι νοῆσαι.
Εἰ δέ κεν ὄψ' ἀρόσῃς, τό δέ κέν τοι φάρμακον εἴη·
Ἦμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισι
Τὸ πρῶτον, τέρπει τε βροτοὺς ἐπ' ἀπείρονα γαῖαν,
Τῆμος Ζεὺς ὕοι τρίτῳ ἤματι, μηδ' ἀπολήγοι,
Μήτ' ἄρ ὑπερβάλλων βοὸς ὁπλὴν, μήτ' ἀπολείπων·
Οὕτω κ' ὀψαρότης πρωτηρότῃ ἰσοφαρίζει.
Ἐν θυμῷ δ' εὖ πάντα φυλάσσεο· μηδέ σε λήθοι
Μήτ' ἔαρ γινόμενον πολιὸν, μήθ' ὥριος ὄμβρος.
Πὰρ δ' ἴθι χάλκειον θῶκον καὶ ἐπαλέα λέσχην
Ὥρῃ χειμερίῃ, ὁπότε κρύος ἀνέρας ἔργον
Ἰσχάνει· ἔνθα κ' ἄοκνος ἀνὴρ μέγα οἶκον ὀφέλλει·
Μή σε κακοῦ χειμῶνος ἀμηχανίη καταμάρψῃ
Σὺν πενίῃ, λεπτῇ δὲ παχὺν πόδα χειρὶ πιέζοις.
Πολλὰ δ' ἀεργὸς ἀνὴρ, κενεὴν ἐπὶ ἐλπίδα μίμνων,
Χρηΐζων βιότοιο, κακὰ προσελέξατο θυμῷ.
Ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,

Ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη.
Δείκνυε δὲ δμώεσσι, θέρευς ἔτι μέσσου ἐόντος,
Οὐκ αἰεὶ θέρος ἐσσεῖται, ποιεῖσθε καλιάς.
Μῆνα δὲ Ληναιῶνα, κακ' ἤματα, βουδόρα πάντα,
Τοῦτον ἀλεύασθαι, καὶ πηγάδας, αἵτ' ἐπὶ γαῖαν
Πνεύσαντος Βορέαο δυσηλεγέες τελέθουσιν·
Ὅς τε διὰ Θρήκης ἱπποτρόφου εὐρέϊ πόντῳ
Ἐμπνεύσας ὤρινε· μέμυκε δὲ γαῖα καὶ ὕλη·
Πολλὰς δὲ δρῦς ὑψικόμους ἐλάτας τε παχείας
Οὔρεος ἐν βήσσῃς πιλνᾷ χθονὶ πουλυβοτείρῃ
Ἐμπίπτων, καὶ πᾶσα βοᾷ τότε νήριτος ὕλη.
Θῆρες δὲ φρίσσουσ', οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο,
Τῶν καὶ λάχνῃ δέρμα κατάσκιον· ἀλλά νυ καὶ τῶν
Ψυχρὸς ἐὼν διάησι δασυστέρνων περ ἐόντων.
Καί τε διὰ ῥινοῦ βοὸς ἔρχεται, οὐδέ μιν ἴσχει.
Καί τε δι' αἶγα ἄησι τανύτριχα· πώεα δ' οὔτι,
Οὕνεκ' ἐπηεταναὶ τρίχες αὐτῶν, οὐ διάησιν
Ἲς ἀνέμου Βορέου. τροχαλὸν δὲ γέροντα τίθησι.
Καὶ διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν,
Ἥτε δόμων ἔντοσθε φίλῃ παρὰ μητέρι μίμνει.
Οὔπω ἔργ' εἰδυῖα πολυχρύσου Ἀφροδίτης·
Εὖ τε λοεσσαμένη τέρενα χρόα, καὶ λίπ' ἐλαίῳ
Χρισαμένη, νυχίη καταλέξεται ἔνδοθεν οἴκου,
Ἤματι χειμερίῳ, ὅτ' ἀνόστεος ὃν πόδα τένδει,
Ἔν τ' ἀπύρῳ οἴκῳ καὶ ἐν ἤθεσι λευγαλέοισιν.
Οὐ γάρ οἱ ἠέλιος δείκνυ νομὸν ὁρμηθῆναι·
Ἀλλ' ἐπὶ κυανέων ἀνδρῶν δῆμόν τε πόλιν τε
Στρωφᾶται, βράδιον δὲ πανελλήνεσσι φαείνει.
Καὶ τότε δὴ κεραοὶ καὶ νήκεροι ὑληκοῖται
Λυγρὸν μυλιόωντες ἀνὰ δρυὰ βησσήεντα

Sedentem in taberna, cui victus non sufficiens sit.
Dic autem servis, æstate adhuc media existente:
Non semper æstas erit, facite nidos. (omnes,
Mensem vero Ianuarium malos, dies, bobus nocentes
Hunc vitate: & glacies, quæ quidem super terram
Flante borea, molestæ existunt,
Qui per Thraciam equorum altricem lato mari
Inspirans illud movet: remugit autem terra & sylva:
Multas vero quercus alticomas abietesque densas,
Montis in vallibus deijcit, ad terram multos pascentem,
Incumbens, & omnis reboat tunc ingens sylva.
Feræ autem horrent, caudasque sub pudenda ponunt:
Eæ etiam quarũ vellere cutis densa est. quas nihilominus
Frigidus existens perflat, hirsuta licet pectora habentes.
Quinetiam per bovis pellẽ penetrat, neq; ipsum cohibet.
Etiamq; per capram flat hirsutã: ovium autẽ greges nõ
Eo quod annui ipsarum villi sunt, non perflat (item,
Vis venti boreæ. incurvum vero senem facit.
Et per tenelli corporis virginem non perflat,
Quæ in ædibus charam apud matrem manet,
Nondum opera sciens aureæ Veneris:
Beneque lota tenerum corpus, & pingui oleo
Vncta, noctu cubat intra domum (arrodit,
Tempore hyberno, quando exossis polypus suum pedem
Inque frigida domo, & in habitaculis tristibus.
Non enim illi sol ostendit pabulum ut invadat,
Sed super nigrorum hominum populumque & urbem
Vertitur, tardius autem universis Græcis lucet.
Et tunc sane cornutæ bestiæ & incornutæ silvicubæ
Misere dentibus stridentes per quercetum vallosum

Fugiunt, & passim omnibus id curæ est,
Quæ tecta inquirentes, densas latebras habent,
Et cavernas petrosas, tunc utique tripodi homini similes,
Cuius & humeri fracti sunt, & caput pavimentū spectat:
Huic similes incedunt vitantes nivem albam.
Et tunc indue munimentum corporis, ut te iubeo,
Chlænamque mollem, & talarem tunicam.
Stamine vero in pauco multam tramam intexe.
Hanc circum induito, ut tibi pili non tremant,
Neque erecti horreant, arrecti per corpus.
Circum vero pedes calceos bovis fortiter occisi
Aptos ligato, pilis intus condensans.
Primogenitorum vero hædorum, cū frigus tempestivum (venerit,
Pelles consuito nervo bovis, ut super humerum
Pluviæ arceas teporem. supra caput vero
Pilcum habeto elaboratum, ut aures ne humefiant:
Frigida enim aurora est Borea cadente:
Matutinus vero super terram a cœlo stellifero
Aer frugifer extensus est beatorum super opera.
Qui hauriens e fluminibus semper fluentibus,
Alte supra terram levatus venti procella,
Interdum quidem pluit ad vesperam, interdum flat,
Densas Thracio Borea nubes excitante.
Hunc antevertens, opere perfecto domum redi,
Ne quando te cælitus tenebrosa nubes circumtegat,
Corpusque madidum faciat, vestesque humectet:
Sed evitato. mensis enim difficilimus hic
Hybernus: difficilis ovibus, difficilisque hominibus.
Tunc medium bobus, homini vero amplius adsit
Alimonia: longæ enim noctes succurrunt illis.

Φεύγουσιν· καὶ πᾶσιν ἐνὶ φρεσὶ τοῦτο μέμηλεν,
Οἳ σκέπα μαιόμενοι πυκινοὺς κευθμῶνας ἔχουσι,
Καὶ γλάφυ πετρῆεν· τότε δὴ τρίποδι βροτῷ ἶσοι,
Οὗ τ' ἐπὶ νῶτα ἔαγε, κάρη δ' εἰς οὖδας ὁρᾶται,
Τῷ ἴκελοι φοιτῶσιν, ἀλευόμενοι νίφα λευκήν·
Καὶ τότε ἕσσασθαι ἔρυμα χροός, ὥς σε κελεύω,
Χλαῖνάν τε μαλακὴν καὶ τερμιόεντα χιτῶνα.
Στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι·
Τὴν περιέσσασθαι, ἵνα τοι τρίχες ἀτρεμέωσι,
Μηδ' ὀρθαὶ φρίσσωσιν, ἀειρόμεναι κατὰ σῶμα.
Ἀμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο
Ἄρμενα δήσασθαι, πίλοις ἔντοσθε πυκάσσας.
Πρωτογόνων δ' ἐρίφων, ὁπόταν κρύος ὥριον ἔλθῃ,
Δέρματα συρράπτειν νεύρῳ βοός, ὄφρ' ἐπὶ νώτῳ
Ὑετοῦ ἀμφιβάλῃ ἀλέην. κεφαλῆφι δ' ὕπερθεν
Πῖλον ἔχειν ἀσκητόν, ἵν' οὔατα μὴ καταδεύῃ.
Ψυχρὴ γάρ τ' ἠὼς πέλεται Βορέαο πεσόντος.
Ἠῷος δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος
Ἀὴρ πυροφόρος τέταται μακάρων ἐπὶ ἔργοις·
Ὅς τε ἀρυσσάμενος ποταμῶν ἀπὸ αἰεναόντων,
Ὑψοῦ ὑπὲρ γαίης ἀρθεὶς ἀνέμοιο θυέλλῃ,
Ἄλλοτε μέν θ' ὕει ποτὶ ἕσπερον, ἄλλοτ' ἄησι
Πυκνὰ Θρηϊκίου Βορέου νέφεα κλονέοντος.
Τὸν φθάμενος, ἔργα τελέσας, οἶκόν δε νέεσθαι,
Μήποτέ σ' οὐρανόθεν σκοτόεν νέφος ἀμφικαλύψῃ,
Χρῶτά τε μυδαλέον θείῃ, κατὰ θ' εἵματα δεύσῃ.
Ἀλλ' ὑπαλεύεσθαι. μεὶς γὰρ χαλεπώτατος οὗτος
Χειμέριος, χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις.
Τῆμος θὤμισυ βουσίν, ἐπὶ δ' ἀνέρι πλέον εἴη
Ἁρμαλιῆς· μακραὶ γὰρ ἐπίρροθοι εὐφρόναι εἰσί.

Ταῦτα φυλασσόμενος τετελεσμένον εἰς ἐνιαυτὸν,
Ἰσοῦσθαι νύκτας τε καὶ ἤματα, εἰσόκεν αὖθις
Γῆ πάντων μήτηρ καρπὸν σύμμικτον ἐνείκῃ.
Εὖτ' ἂν δ' ἑξήκοντα μετὰ τροπὰς ἠελίοιο
Χειμέρια ἐκτελέσῃ Ζεὺς ἤματα, δή ῥα τότ' ἀστὴρ
Ἀρκτοῦρος, προλιπὼν ἱερὸν ῥόον Ὠκεανοῖο,
Πρῶτον παμφαίνων, ἐπιτέλλεται ἀκροκνέφαιος.
Τὸν δὲ μετ' ὀρθρογόη Πανδιονὶς ὦρτο χελιδὼν
Ἐς φάος ἀνθρώποις, ἔαρος νέον ἱσταμένοιο.
Τὴν φθάμενος, οἴνας περιταμνέμεν· ὣς γὰρ ἄμεινον.
Ἀλλ' ὁπότ' αὖ φερέοικος ἀπὸ χθονὸς αὖ φυτὰ βαίνῃ
Πληϊάδας φεύγων, τότε δὴ σκάφος οὐκέτι οἰνέων·
Ἀλλ' ἅρπας τε χαρασσέμεναι, καὶ δμῶας ἐγείρειν.
Φεύγειν δὲ σκιεροὺς θώκους καὶ ἐπ' ἠῶ κοῖτον,
Ὥρῃ ἐν ἀμητοῦ, ὅτε τ' ἠέλιος χρόα κάρφει.
Τημοῦτος σπεύδειν, καὶ οἴκαδε καρπὸν ἀγείρειν,
Ὄρθρου ἀνιστάμενος, ἵνα τοι βίος ἄρκιος εἴη,
Ἠὼς γάρ τ' ἔργοιο τρίτην ἀπομείρεται αἶσαν.
Ἠώς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου·
Ἠὼς ἥτε φανεῖσα πολέας ἐπέβησε κελεύθου
Ἀνθρώπους, πολλοῖσι δ' ἐπὶ ζυγὰ βουσὶ τίθησιν.
Ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ, καὶ ἠχέτα τέττιξ
Δενδρέῳ ἐφεζόμενος λιγυρὴν καταχεύετ' ἀοιδὴν
Πυκνὸν ὑπὸ πτερύγων, θέρεος καματώδεος ὥρῃ,
Τῆμος πιόταταί τ' αἶγες καὶ οἶνος ἄριστος·
Μαχλόταται δὲ γυναῖκες, ἀφαυρότατοι δέ τε ἄνδρες
Εἰσὶν, ἐπεὶ κεφαλὴν καὶ γούνατα Σείριος ἄζει,
Αὐαλέος δέ τε χρὼς ὑπὸ καύματος. ἀλλὰ τότ' ἤδη
Εἴη πετραίη τε σκιὴ καὶ βύβλινος οἶνος,
Μᾶζά τ' ἀμολγαίη, γάλα τ' αἰγῶν σβεννυμενάων·

Καὶ

Hæc observans perfectum in annum
Æquato noctesque & dies, donec rursum
Terra omnium mater fructum omnigenum proferat.
Quum autem sexaginta post versiones solis
Hybernos perfecerit Iupiter dies, tunc sane stella
Arcturus relinquens immensum fluctum Oceani,
Primus totus apparens exorietur vespertinus.
Post hunc mane lugens Pandionis prorumpit hirundo
Ad lucem hominibus, vere nuper cœpto.
Hanc prævertens, vites incidito: sic enim melius.
At cum domiporta testudo a terra plantas ascenderit,
Pleiades fugiens, tunc non amplius fodiendæ vites:
Sed falcesque acuito servosque excitato.
Fugito vero umbrosas sedes, & matutinum somnum,
Tempore messis, quando sol corpus exiccat:
Tunc festina, & domum fruges congrega,
Diluculo surgens, ut tibi sufficiens sit:
Aurora enim operis tertiam sortitur partem. (laborē:
Aurora magis promovet quidē viam magisq; promovet
Aurora quæ apparens multos ingredi fecit viam
Homines, pluribus vero iuga bobus imponit.
Quum vero carduusque floret, & canora cicada
Arbori insidens stridulum effundit cantum
Frequenter sub alis, æstatis laborioso tempore,
Tunc pinguesque capræ, & vinum optimum,
Salacissimæ vero mulieres, & viri imbecillissimi
Sunt, quoniam caput & genua Sirius exiccat,
Siccum vero corpus ob æstum. Sed tunc iam
Sit petrosaque umbra & Byblinum vinum,
Libumq; lacteum: lacq; caprarū nō amplius lactantium,

Et bovis arborivoræ caro nondum enixæ,
Tenerorumq; hædorum. præterea nigrum bibito vinum,
In umbra sedens, animo saturatus cibo,
Contra temperatum ventum obverso vultu,
Fontemq; perennem, ac defluentem, quique illimis sit.
Tertiam aquæ partem infunde, quartã vero misce vino,
Famulis autem impera, Cereris sacrum munus
Triturare, quando primum apparuerit vis Orionis,
Loco in ventoso, & bene planata in area.
Mensura vero diligenter recondito in vasis. sed postquã
Omnem victum deposueris sufficientem intra domum,
Servum domo carentẽ conducere, & sine liberis ancillam
Inquirere iubeo: molesta est autẽ quæ liberos habet ancil-
Et canẽ dentibus asperum nutrito: nec parcas cibo: (la.
Ne quãdo tibi interdiu dormiens fur facultates auferat.
Fænum autem importato, & paleas, ut tibi sit
Bobus ac mulis annuum pabulum. sed postea
Servi refocillent chara genua, & boves solvantur.
Quum vero Orion & Sirius in medium venerit
Cælum, Arcturum autẽ inspexerit rosea digitis Aurora,
O Persa, tunc omnes decerpe domum uvas:
Exponito vero soli decem dies, totidemque noctes.
Quinque autem adumbrato, sexto in vasa haurito
Dona lætitiæ datoris Bacchi. Sed postquam utique
Pleiadesque Hyadesque ac robur Orionis
Occiderint, tunc deinde arationis memor esto
Tempestivæ. ita annus in opere rustico absolutus sit.
Quod si te navigationis periculosæ desiderium ceperit,
Quando utique Pleiades robur validum Orionis
Fugientes, occiderint in obscurum pontum,

Καὶ βοὸς ὑλοφάγοιο κρέας μήπω τετοκυίης,
Πρωτογόνων τ' ἐρίφων· ἐπὶ δ' αἴθοπα πινέμεν οἶνον,
Ἐν σκιῇ ἑζόμενον, κεκορημένον ἦτορ ἐδωδῆς·
Ἀντίον ἀκραέος ἀνέμου τρέψαντα πρόσωπον,
Κρήνης τ' αἰενάου καὶ ἀπορρύτου, ἥ τ' ἀθόλωτος.
Τρὶς δ' ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου.
Δμωσὶ δ' ἐποτρύνειν Δημήτερος ἱερὸν ἀκτὴν
Δινέμεν, εὖτ' ἂν πρῶτα φανῇ σθένος Ὠρίωνος,
Χώρῳ ἐν εὐαεῖ, καὶ ἐυτροχάλῳ ἐν ἀλωῇ·
Μέτρῳ δ' εὖ κομίσασθαι ἐν ἄγγεσιν· αὐτὰρ ἐπὴν δὴ
Πάντα βίον κατάθηαι ἐπάρμενον ἔνδοθεν οἴκου,
Θῆτα ἄοικον ποιεῖσθαι, καὶ ἄτεκνον ἔριθον
Δίζεσθαι κέλομαι· χαλεπὴ δ' ὑπόπορτις ἔριθος.
Καὶ κύνα καρχαρόδοντα κομεῖν. μὴ φείδεο σίτου·
Μή ποτέ σ' ἡμερόκοιτος ἀνὴρ ἀπὸ χρήμαθ' ἕληται.
Χόρτον δ' ἐσκομίσαι καὶ συρφετὸν, ὄφρα τοι εἴη
Βουσὶ καὶ ἡμιόνοισιν ἐπηετανόν. αὐτὰρ ἔπειτα
Δμῶας ἀναψῦξαι φίλα γούνατα, καὶ βόε λῦσαι·
Εὖτ' ἂν δ' Ὠρίων καὶ Σείριος ἐς μέσον ἔλθῃ
Οὐρανὸν, Ἀρκτοῦρον δ' ἐσίδῃ ῥοδοδάκτυλος Ἠώς,
Ὦ Πέρση, τότε πάντας ἀποδρέπε οἴκαδε βότρυς·
Δεῖξαι δ' ἠελίῳ δέκα τ' ἤματα καὶ δέκα νύκτας.
Πέντε δὲ συσκιάσαι, ἕκτῳ δ' εἰς ἄγγε' ἀφύσσαι
Δῶρα Διωνύσου πολυγηθέος· αὐτὰρ ἐπὴν δὴ
Πληϊάδες θ' Ὑάδες τε, τό τε σθένος Ὠρίωνος
Δύνωσιν, τότ' ἔπειτ' ἀρότου μεμνημένος εἶναι
Ὡραίου· πλειὼν δὲ κατὰ χθονὸς ἄρμενος εἴη.
Εἰ δέ σε ναυτιλίης δυσπεμφέλου ἵμερος αἱρῇ,
Εὖτ' ἂν Πληϊάδες σθένος ὄβριμον Ὠρίωνος
Φεύγουσαι πίπτωσιν ἐς ἠεροειδέα πόντον,

Δὴ τότε παντοίων ἀνέμων θύουσιν ἀῆται·
Καὶ τότε μηκέτι νῆας ἔχειν ἐνὶ οἴνοπι πόντῳ·
Γῆν δ' ἐργάζεσθαι μεμνημένος, ὥς σε κελεύω.
Νῆα δ' ἐπ' ἠπείρου ἐρύσαι, πυκάσαι τε λίθοισι
Πάντοθεν, ὄφρ' ἴσχωσ' ἀνέμων μένος ὑγρὸν ἀέντων·
Χείμαρον ἐξερύσας, ἵνα μὴ πύθῃ Διὸς ὄμβρος.
Ὅπλα δ' ἐπάρμενα πάντα τεῷ ἐγκάτθεο οἴκῳ,
Εὐκόσμως στολίσας νηὸς πτερὰ ποντοπόροιο,
Πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι.
Αὐτὸς δ' ὡραῖον μίμνειν πλόον, εἰσόκεν ἔλθῃ.
Καὶ τότε νῆα θοὴν ἅλα δ' ἑλκέμεν, ἐν δέ τε φόρτον
Ἄρμενον ἐντύνασθαι, ἵν' οἴκαδε κέρδος ἄρηαι·
Ὥς περ ἐμός τε πατὴρ καὶ σὸς, μέγα νήπιε Πέρση,
Πλωΐζεσκεν νηυσὶ, βίου κεχρημένος ἐσθλοῦ.
Ὅς ποτε καὶ τῇδ' ἦλθε, πολὺν διὰ πόντον ἀνύσσας,
Κύμην Αἰολίδα προλιπὼν, ἐν νηῒ μελαίνῃ·
Οὐκ ἄφενος φεύγων, οὐδὲ πλοῦτόν τε καὶ ὄλβον,
Ἀλλὰ κακὴν πενίην, τὴν Ζεὺς ἄνδρεσσι δίδωσι.
Νάσσατο δ' ἄγχ' Ἑλικῶνος ὀϊζυρῇ ἐνὶ κώμῃ,
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.
    Τύνη δ' ὦ Πέρση, ἔργων μεμνημένος εἶναι
Ὡραίων πάντων, περὶ ναυτιλίης δὲ μάλιστα.
Νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι.
Μείζων μὲν φόρτος, μεῖζον δ' ἐπὶ κέρδεϊ κέρδος
Ἔσσεται, εἴ κ' ἄνεμοί γε κακὰς ἀπέχωσιν ἀήτας.
Εὖτ' ἂν ἐπ' ἐμπορίην τρέψας ἀεσίφρονα θυμὸν,
Βούληαι δὲ χρέα τε προφυγεῖν καὶ λιμὸν ἀτερπῆ,
Δείξω δή τοι μέτρα πολυφλοίσβοιο θαλάσσης,
Οὔτε τι ναυτιλίης σεσοφισμένος, οὔτε τι νηῶν.
Οὐ γάρ πώποτε νηΐ γ' ἐπέπλων εὐρέα πόντον.

Tunc certe variorum ventorum strident flamina,
Et tunc ne amplius naves habe in nigro ponto.
Terram autem exercere memento, ita ut te iubeo.
Navem vero in continentem trahito, munitoq; lapidibus
Undiquaq;, ut arceant ventorũ robur humide flantium,
Sentina exhausta, ut ne putrefaciat Iovis imber.
Instrumenta vero congrua omnia domi tua repone,
Recte contrahens navis alas pontigrada.
Clavum vero fabrefactum super fumum suspendito.
Ipse autẽ tempestivam expectato navigationẽ dũ veniat.
Tuncq; navem celerem ad mare trahito. intus vero onus
Aptum imponito, domum ut lucrum reportes:
Quemadmodum meusq; pater, & tuus, stultissime Persa,
Navigabat navibus, victus indigus boni.
Qui olim & huc venit immensum pontum emensus,
Cuma AEolide relicta, in navi nigra:
Non reditus fugiens, neque opulentiam ac facultates,
Sed malam pauperiem quam Iupiter hominibus dat.
Habitavit autem prope Heliconem misero in vico
Ascra, hyeme malo, æstate autẽ molesto, nunquam bono.
Tu vero, ô Persa, operum memor esto
Tempestivorum omnium: navigationis vero maxime.
Navem parvam laudato, magna vero onera imponito.
Maius quidem onus, maius vero lucrum ad lucrum
Erit. si quidem venti malos abstineant flatus.
Quando autẽ ad mercaturam verso imprudente animo,
Volueris & debita effugere, & famem inamœnam,
Ostendam tibi opportunitates sonori maris:
Etsi neque navigandi peritus, neque navium.
Neq; enim unquam navi transmisi latum mare,

Nisi in Eubœam ex Aulide, ubi quondam Græci
Expectata tempestate, magnum collegerunt exercitum,
Græcia e sacra ad Troiam pulchris fœminis præditam.
Illuc ego ad certamina strenui Amphidamantis,
Chalcidemque traieci. prædeliberata vero multa
Certamina instituerunt iuvenes magnanimi: ubi me
Carmine victorem tulisse tripodem auritum. (glorior
Quem ego quidem Musis Heliconiadibus dicavi,
Vbi me primum sonori compotem fecerunt cantus.
Tantum naves expertus sum, multos clavos habentes.
Sed tamen dicam Iovis consilium AEgiochi:
Musæ enim me docuerunt divinum carmen canere.
Dies quinquaginta post versiones solis,
Ad finem progressa æstate laboriosi temporis,
Tempestiva est mortalibus navigatio. nec certe navem
Fregeris, neque homines perdiderit mare,
Nisi dedita opera Neptunus terræ quassator,
Aut Iupiter immortalium rex velit perdere.
Penes hos enim potestas est simul bonorumque malorumque.
Tunc vero facilesque auræ, & mare innocuum,
Tranquillum: tunc navem celerem, ventis fretus,
Trahito in pontum. onus vero omne colloca.
Propera autem quam celerrime iterum domum redire.
Neque vero expectato vinumque novum, & autumnalem imbrem,
Et hyemem accedentem, notique molestos flatus,
Qui concitat mare, secutus cælestem imbrem
Multum, autumnalem: difficilem vero pontum facit.
Sed alia verna est navigatio hominibus:
Nempe cum primum quantum incedens cornix

Vesti-

Εἰ μὴ ἐς Εὔβοιαν ἐξ Αὐλίδος, ᾗ ποτ᾽ Ἀχαιοὶ
Μείναντες χειμῶνα, πολὺν σὺν λαὸν ἄγειραν
Ἑλλάδος ἐξ ἱερῆς Τροίην ἐς καλλιγύναικα.
Ἐνθάδ᾽ ἐγὼν ἐπ᾽ ἄεθλα δαΐφρονος Ἀμφιδάμαντος
Χαλκίδα τ᾽ εἰσεπέρησα. τὰ δὲ προπεφραδμένα πολλὰ
Ἆθλ᾽ ἔθεσαν παῖδες μεγαλήτορες· ἔνθα μέ φημι
Ὕμνῳ νικήσαντα φέρειν τρίποδ᾽ ὠτώεντα.
Τὸν μὲν ἐγὼ Μούσῃσ᾽ Ἑλικωνιάδεσσ᾽ ἀνέθηκα,
Ἔνθα με τὸ πρῶτον λιγυρῆς ἐπέβησαν ἀοιδῆς·
Τόσσόν τοι νηῶν γε πεπείραμαι πολυγόμφων.
Ἀλλὰ καὶ ὣς ἐρέω Ζηνὸς νόον αἰγιόχοιο.
Μοῦσαι γάρ μ᾽ ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.
Ἤματα πεντήκοντα μετὰ τροπὰς ἠελίοιο,
Ἐς τέλος ἐλθόντος θέρεος καματώδεος ὥρης,
Ὡραῖος πέλεται θνητοῖς πλόος. οὔτε κε νῆα
Καυάξαις, οὔτ᾽ ἄνδρας ἀποφθείσειε θάλασσα,
Εἰ μὴ δὴ πρόφρων γε Ποσειδάων ἐνοσίχθων
Ἢ Ζεὺς ἀθανάτων βασιλεὺς ἐθέλῃσιν ὀλέσσαι.
Ἐν τοῖς γὰρ τέλος ἐστὶν ὁμῶς ἀγαθῶν τε κακῶν τε.
Τῆμος δ᾽ εὐκρινέες τ᾽ αὖραι, καὶ πόντος ἀπήμων,
Εὔκηλος· τότε νῆα θοὴν ἀνέμοισι πιθήσας
Ἑλκέμεν ἐς πόντον, φόρτον δ᾽ εὖ πάντα τίθεσθαι.
Σπεύδειν δ᾽ ὅττι τάχιστα πάλιν οἶκόνδε νέεσθαι·
Μηδὲ μένειν οἶνόν τε νέον καὶ ὀπωρινὸν ὄμβρον,
Καὶ χειμῶν᾽ ἐπιόντα, νότοιό τε δεινὰς ἀήτας.
Ὅς τ᾽ ὤρινε θάλασσαν ὁμαρτήσας Διὸς ὄμβρῳ
Πολλῷ, ὀπωρινῷ· χαλεπὸν δέ τε πόντον ἔθηκεν.
Ἄλλος δ᾽ εἰαρινὸς πέλεται πλόος ἀνθρώποισιν,
Ἦμος δὴ τὸ πρῶτον ὅσον τ᾽ ἐπιβᾶσα κορώνη

Ἴχνος ἐποίησεν, τόσον πέταλ' ἀνδρὶ φανείη
Ἐν κράδῃ ἀκροτάτῃ· τότε δ' ἄμβατός ἐστι θάλασσα.
Εἰαρινὸς δ' οὗτος πέλεται πλόος. οὔ μιν ἔγωγε
Αἴνημ'· οὐ γὰρ ἐμῷ θυμῷ κεχαρισμένος ἐστίν,
Ἁρπακτός. χαλεπῶς κε φύγοις κακόν. ἀλλά νυ καὶ τὰ
Ἄνθρωποι ῥέζουσιν ἀϊδρείῃσι νόοιο.
Χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι.
Δεινὸν δ' ἐστὶ θανεῖν μετὰ κύμασιν. ἀλλά σ' ἄνωγα
Φράζεσθαι τάδε πάντα μετὰ φρεσὶν ὅσσ' ἀγορεύω.
Μηδ' ἐν νηυσὶν ἅπαντα βίον κοίλῃσι τίθεσθαι·
Ἀλλὰ πλέω λείπειν, τὰ δὲ μείονα φορτίζεσθαι.
Δεινὸν γὰρ πόντου μετὰ κύμασι πήματι κύρσαι·
Δεινὸν δ' εἴ κ' ἐπ' ἄμαξαν ὑπέρβιον ἄχθος ἀείρας,
Ἄξονα καυάξαις, τὰ δὲ φορτί' ἀμαυρωθείη.
Μέτρα φυλάσσεσθαι, καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.
Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι,
Μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων,
Μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος.
Ἡ δὲ γυνὴ τέτορ' ἡβώῃ, πέμπτῳ δὲ γαμοῖτο.
Παρθενικὴν δὲ γαμεῖν, ὥς κ' ἤθεα κεδνὰ διδάξῃς.
Τὴν δὲ μάλιστα γαμεῖν ἥτις σέθεν ἐγγύθι ναίει·
Πάντα μάλ' ἀμφὶς ἰδών, μὴ γείτοσι χάρματα γήμῃς.
Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
Τῆς ἀγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο,
Δειπνολόχης· ἥ τ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
Εὕει ἄτερ δαλοῦ, καὶ ὠμῷ γήραϊ δῶκεν.
Εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.
Μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον·

Εἰ

Vestigium fecit, tantum folia homini appareant
Summa in ficu. tum sane pervium est mare.
Verna autem hæc est navigatio non ipsam ego tamen
Probo: neque enim meo animo grata est,
Quia occasio ipsius invadenda: ægre quidem effugeris malum. sed tamen & hæc
Homines faciunt stultitia mentis.
Pecunia enim anima est miseris mortalibus.
Miserum vero est mori in fluctibus. Verum te iubeo
Considerare hæc omnia in animo quæcunq; tibi consulo.
Ne vero intra naves omnem substantiam cavas pone:
Sed plura relinquito: pauciora vero imponito.
Miserum enim ponti in fluctibus in malum incidere:
Miserum etiam, si quidē in currum prægrande onus imponens,
Axem fregeris, onera vero intereant.
Tempus observa: occasio vero in omnibus optima.
Maturus autem uxorem tuam ad domum ducito.
Neque triginta annis valde multum deficiens,
Neq; superans multum: nuptiæ vero tibi tempestivæ hæ:
Mulier autem quatuor annos pubescat, quinto nubat:
Virginem vero ducito, ut mores castos doceas.
Eam vero potissimum ducito quæ te prope habitat:
Omnia diligenter circum contemplatus, ne vicinis ludibria ducas.
Neque enim muliere quicquam vir sortitur melius
Bona: rursus vero mala non durius aliud,
Comessatrice: quæ virum, licet robustum,
Torret sine face, & crudæ senectæ tradit.
Bene vero reverentiam erga deos immortales observato.
Neque fratri æqualem facito amicum.

Quod si feceris, ne ipsum prior malo afficias.
Ne vero mentiaris lingua gratiam. Sin autem cœperis,
Aut verbum aliquod locutus infestum, aut faciens,
Bis tantum punire memineris. Sin vero rursus
Redeat ad amicitiam, pœnam autem velit præstare,
Suscipe. miser namque vir amicum alias alium
Facit: te vero ne quid animo coarguat vultus.
Ne vero multorum hospes, neve nullius hospes dicaris:
Neve malorum socius, neque bonorum conviciator.
Neq; unquã miserã pauperiem animi cõsumptricẽ hominĩ
Sustineas exprobrare, divorum munus immortalium.
Lingua certe thesaurus inter homines optimus
Parcæ, plurima vero gratia, si modum servet.
Quod si malum dixeris, forsan & ipse maius audies.
Neque in convivio publico gravem te præbeas
Quod communibus sumptibus instruitur: plurima enim gratia, sumptusq; minimus.
Neque unquam mane Iovi libato nigrum vinum
Manibus illotis, neque aliis immortalibus.
Neque enim illi exaudiunt: respuunt vero etiam preces.
Neque contra solem versus erectus meijto.
Sed ab occasu illius memor eius rei usque ad ortum.
Neque in via neque extra viam progrediendo meias,
Neque denudatus: deorum quippe noctes sunt.
Sedens vero divinus vir, & prudens
Aut ad parietem accedens bene septi atrij.
Neque pudenda semine pollutus intra domum
Focum iuxta revelato, sed caveto.
Neque ab ominoso sepulchro reversus
Seminato progeniem, sed deorum a convivio.

Εἰ δέ κε ποιήσῃς, μή μιν πρότερος κακὸν ἔρξῃς.
Μηδὲ ψεύδεσθαι γλώσσης χάριν. εἰ δέ κεν ἄρχῃ
Ἤ τι ἔπος εἰπὼν ἀποθύμιον, ἠὲ καὶ ἔρξας,
Δὶς τόσα τίννυσθαι μεμνημένος. εἰ δέ κεν αὖθις
Ἡγῆτ' ἐς φιλότητα, δίκην δ' ἐθέλησι παρασχεῖν,
Δέξασθαι. δειλός τοι ἀνὴρ φίλον ἄλλοτε ἄλλον
Ποιεῖται· σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.
Μηδὲ πολύξεινον, μηδ' ἄξεινον καλέεσθαι,
Μηδὲ κακῶν ἕταρον, μηδ' ἐσθλῶν νεικεστῆρα.
Μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
Τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.
Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
Φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.
Εἰ δὲ κακὸν εἴποις, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.
Μηδὲ πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι,
Ἐκ κοινοῦ· πλείστη δὲ χάρις, δαπάνη τ' ὀλιγίστη.
Μηδέ ποτ' ἐξ ἠοῦς Διῒ λείβειν αἴθοπα οἶνον
Χερσὶν ἀνίπτοισιν, μηδ' ἄλλοις ἀθανάτοισιν.
Οὐ γὰρ τοίγε κλύουσιν, ἀποπτύουσι δέ τ' ἀράς.
Μηδ' ἄντ' ἠελίοιο τετραμμένος ὀρθὸς ὀμιχεῖν.
Αὐτὰρ ἐπεί κε δύῃ μεμνημένος ἔς τ' ἀνιόντα.
Μήτ' ἐν ὁδῷ μήτ' ἐκτὸς ὁδοῦ προβάδην οὐρήσῃς·
Μηδ' ἀπογυμνωθείς· μακάρων τοι νύκτες ἔασιν.
Ἑζόμενος δ' ὅγε θεῖος ἀνὴρ πεπνυμένα εἰδώς,
Ἤ ὅγε πρὸς τοῖχον πελάσας εὐερκέος αὐλῆς.
Μηδ' αἰδοῖα γονῇ πεπαλαγμένος ἔνδοθεν οἴκου
Ἑστίῃ ἐμπελαδὸν παραφαινέμεν, ἀλλ' ἀλέασθαι.
Μηδ' ἀπὸ δυσφήμοιο τάφου ἀπονοστήσαντα
Σπερμαίνειν γενεήν, ἀλλ' ἀθανάτων ἀπὸ δαιτός.

Μηδέ ποτ' ἀενάων ποταμῶν καλλίρροον ὕδωρ
Ποσσὶ περᾶν, πρίν γ' εὔξῃ ἰδὼν ἐς καλὰ ῥέεθρα,
Χεῖρας νιψάμενος πολυηράτῳ ὕδατι λευκῷ.
Ὃς ποταμὸν διαβῇ, κακότητι δὲ χεῖρας ἄνιπτος,
Τῷδε θεοὶ νεμεσῶσι, καὶ ἄλγεα δῶκαν ὀπίσσω.
Μηδ' ἀπὸ πεντόζοιο θεῶν ἐνὶ δαιτὶ θαλείῃ
Αὖον ἀπὸ χλωροῦ τέμνειν αἴθωνι σιδήρῳ.
Μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθεν
Πινόντων, ὀλοὴ γὰρ ἐπ' αὐτῷ μοῖρα τέτυκται.
Μηδὲ δόμον ποιῶν, ἀνεπίξεστον καταλείπειν,
Μήτοι ἐφεζομένη κρώζῃ λακέρυζα κορώνη.
Μηδ' ἀπὸ χυτροπόδων ἀνεπιρρέκτων ἀνελόντα
Ἔσθειν, μηδὲ λόεσθαι, ἐπεὶ καὶ τοῖς ἔνι ποινή.
Μηδ' ἐπ' ἀκινήτοισι καθίζειν (οὐ γὰρ ἄμεινον)
Παῖδα δυωδεκαταῖον, ὅτ' ἀνέρ' ἀνήνορα ποιεῖ·
Μηδὲ δυωδεκάμηνον. ἴσον καὶ τοῦτο τέτυκται.
Μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι
Ἀνέρα. λευγαλέη γὰρ ἐπὶ χρόνον ἔστ' ἐπὶ καὶ τῷ
Ποινή. μηδ' ἱεροῖσιν ἐπ' αἰθομένοισι κυρήσας,
Μωμεύειν ἀΐδηλα· θεός νύ τι καὶ τὰ νεμεσσᾷ.
Μηδέ ποτ' ἐν προχοῇ ποταμῶν ἅλαδε προρεόντων,
Μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι·
Μηδ' ἐναποψύχειν. τὸ γὰρ οὔτοι λώϊόν ἐστιν
Ὧδ' ἔρδειν· δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην.
Φήμη γάρ τε κακὴ πέλεται, κούφη μὲν ἀεῖραι
Ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι.
Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
Λαοὶ φημίζουσι. θεός νύ τίς ἐστι καὶ αὐτή.

ΤΕΛΟΣ.

Nec unquam perennium fluviorum limpidam aquam
Pedibus transito, priusquam oraveris aspiciens pulchra
Manus lotus amœna aqua limpida. (fluenta,
Qui fluvium transierit, malicia vero manus illotus,
Ei succensent dij, & damna in posterum.
Ne vero a manu deorum in celebri convivio
Siccum a viridi reseca nigro ferro.
Neq; unquam patinam libatoriam pone super craterem
Bibentium: perniciosum enim in ipso fatum est situm.
Neque domum faciens imperfectam relinquito,
Ne forte insidens crocitet stridula cornix.
Neque a pedatis ollis nondum lustratis rapiens
Comedito, neque lavator: quia & hisce noxa inest.
Neque super immobilibus locato (non enim bonum est)
Puerum duodennem: quia virum inertem facit.
Neque duodecim mensium: æquale & hoc est.
Neque muliebri in balneo corpus abluito
Vir: gravis enim ad tempus est & in hoc
Pœna. neque in sacrificia accensa incidens,
Reprehende arcana: Deus quippe & hæc indigne fert.
Nec unquam in alveo fluviorum mare influentium,
Neque super fontes meijto: quin valde evitato:
Neque incacato. id enim nihilo est melius
Sic facere. gravem vero mortalium evitato famam.
Fama enim mala est, levis quidem levatu
Facillime, molesta vero portatu, difficilisq; depositu.
Fama vero nulla prorsus perit, quam quidem multi
Populi divulgant: quippe dea quadam est & ipsa

FINIS.

HESIODI ASCRÆI

Dies.

DIes vero ex Iove observãs, bene secundum decorũ
Præcipe servis, tricesimam mensis optimam
Ad opera inspiciendũ, dimensumq; dividendum,
Nempe cum circa iuris negotia & iudicia populi versan-
Hæ enim dies sunt Iove a prudente. (tur.
Primum, novilunium, quartaq; & septima sacra dies:
Hac enim Apollinẽ ense aureo armatum genuit Latona.
Octavaque & nona ambæ dies mensis
Egregie crescentis, ad curandum opera mortalium.
Vndecima vero duodecimaque ambæ quidem bonæ:
Hæc quidẽ tondendis ovibus, illa lætis segetibus metẽdis.
Duodecima tamen undecima multo melior.
Hac enim net fila in aere suspensus araneus,
Die expleta, quum & prudens formica acervũ colligit.
Hac telam ordiatur mulier proponatque opus.
Mensis autem inchoati decimatertia caveto
Sementem incipere: plantis vero inserendis optima est.
Sexta vero media valde incommoda est plantis:
Viripara bona: puellæ vero non utilis est,
Neque gignendæ primum, nec nuptiis tradendæ.
Nec prima quidem sexta puellæ gignendæ
Apta est, sed hædis castrandis, & gregibus ovium,
Stabuloque circumsepiendo pastorali, benigna dies est.
Bona vero viripara, amatque convicia loqui,
Mendaciaq; & blandos sermones, & occulta colloquia.

Mensis

ΗΣΙΟΔΟΥ ΤΟΥ ΑΣΚΡΑΙΟΥ

Ἡμέραι.

Ἤματα δ' ἐκ Διόθεν πεφυλαγμένος, εὖ κατὰ μοῖραν
Πεφραδέμεν δμώεσσι. τριηκάδα μηνὸς ἀρίστην
Ἔργα ἐποπτεύειν, ἠδ' ἁρμαλιὴν δατέασθαι,
Εὖτ' ἂν ἀληθείην λαοὶ κρίνοντες ἄγωσιν.
Αἵδε γὰρ ἡμέραι εἰσὶ Διὸς παρὰ μητιόεντος.
Πρῶτον ἕνη, τετράς τε, καὶ ἑβδόμη, ἱερὸν ἦμαρ·
Τῇ γὰρ Ἀπόλλωνα χρυσάορα γείνατο Λητώ.
Ὀγδοάτη τ' ἐνάτη τε δύω γε μὲν ἤματα μηνὸς
Ἔξοχ' ἀεξομένοιο βροτήσια ἔργα πένεσθαι,
Ἑνδεκάτη τε δυωδεκάτη τ' ἄμφω γε μὲν ἐσθλαί,
Ἡ μὲν, ὄις πείκειν, ἡ δ', εὔφρονα καρπὸν ἀμᾶσθαι.
Ἡ δὲ δυωδεκάτη τῆς ἑνδεκάτης μέγ' ἀμείνων.
Τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης
Ἤματος ἐκ πλείου, ὅτε τ' ἴδρις σωρὸν ἀμᾶται.
Τῇ δ' ἱστὸν στήσαιτο γυνὴ, προβάλοιτό τε ἔργον.
Μηνὸς δ' ἱσταμένου τρισκαιδεκάτην ἀλέασθαι
Σπέρματος ἄρξασθαι· φυτὰ δ' ἐνθρέψασθαι ἀρίστη.
Ἕκτη δ' ἡ μέσση μάλ' ἀσύμφορός ἐστι φυτοῖσιν·
Ἀνδρογόνος τ' ἀγαθή· κούρῃ δ' οὐ σύμφορόν ἐστιν,
Οὔτε γενέσθαι πρῶτ', οὔτ' ἂρ γάμου ἀντιβολῆσαι.
Οὐδὲ μὲν πρώτη ἕκτη, κούρῃ τε γενέσθαι
Ἄρμενος, ἀλλ' ἐρίφους τάμνειν καὶ πώεα μήλων,
Σηκόν τ' ἀμφιβαλεῖν ποιμνήιον, ἤπιον ἦμαρ.
Ἐσθλὴ δ' ἀνδρογόνος· φιλέει δέ κε κέρτομα βάζειν,
Ψεύδεά θ', αἱμυλίους τε λόγους, κρυφίους τ' ὀαρισμούς·

Μηνὸς δ' ὀγδοάτῃ κάπρον καὶ βοῦν ἐρίμυκον
Ταμνέμεν, οὐρῆας δὲ δυωδεκάτῃ ταλαεργούς.
Εἰκάδι δ' ἐν μεγάλῃ πλέῳ ἤματι ἵστορα φῶτα
Γίνεσθαι· μέγα γάρ τε νόον πεπυκασμένος ἐστίν.
Ἐσθλὴ δ' ἀνδρογόνος δεκάτη, κούρῃ δέ τε τετρὰς
Μέσση. τῇ δέ τε μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς,
Καὶ κύνα καρχαρόδοντα καὶ οὐρῆας ταλαεργοὺς
Πρηΰνειν, ἐπὶ χεῖρα τιθείς. πεφύλαξο δὲ θυμῷ
Τετράδ' ἀλεύασθαι φθίνοντός θ' ἱσταμένου τε,
Ἄλγεα θυμοβορεῖν· μάλα τοι τετελεσμένον ἦμαρ.
Ἐν δὲ τετάρτῃ μηνὸς ἄγεσθαι ἐς οἶκον ἄκοιτιν,
Οἰωνοὺς κρίνας οἳ ἐπ' ἔργματι τούτῳ ἄριστοι·
Πέμπτας δ' ἐξαλέασθαι, ἐπεὶ χαλεπαί τε καὶ αἰναί.
Ἐν πέμπτῃ γάρ φασιν Ἐριννύας ἀμφιπολεύειν,
Ὅρκον τιννυμένας, τὸν Ἔρις τίκε πῆμ' ἐπιόρκοις.
Μέσσῃ δ' ἑβδομάτῃ Δημήτερος ἱερὸν ἀκτὴν
Εὖ μάλ' ὀπιπτεύοντα ἐϋτροχάλῳ ἐν ἀλωῇ
Βάλλειν. ὑλοτόμον τε ταμεῖν θαλαμήια δοῦρα,
Νήιά τε ξύλα πολλά, τά τ' ἄρμενα νηυσὶ πέλονται.
Τετράδι δ' ἄρχεσθαι νῆας πήγνυσθαι ἀραιάς.
Εἰνὰς δ' ἡ μέσση ἐπιδείελα λώιον ἦμαρ.
Πρωτίστη δ' εἰνὰς παναπήμων ἀνθρώποισιν.
Ἐσθλὴ μὲν γάρ τ' ἥδε φυτευέμεν ἠδὲ γενέσθαι
Ἀνέρι τ' ἠδὲ γυναικί· καὶ οὔποτε πάγκακον ἦμαρ.
Παῦροι δ' αὖτ' ἴσασι τρισεινάδα μηνὸς ἀρίστην
Ἄρξασθαί τε πίθου, καὶ ἐπὶ ζυγὸν αὐχένα θεῖναι
Βουσὶ καὶ ἡμιόνοισι καὶ ἵπποις ὠκυπόδεσσι·
Νῆα πολυκλήιδα θοὴν εἰς οἴνοπα πόντον
Εἰρύμεναι. παῦροι δέ τ' ἀληθέα κικλήσκουσι.
Τετράδι δ' οἶγε πίθον. περὶ πάντων ἱερὸν ἦμαρ

Mensis vero octava caprum & bovẽ valde mugientem,
Castrato: mulos autem duodecima laboriosos.
Vicesima vero in magna, plena die, prudentem virum
Generato: valde enim bonæ est indolis.
Bona autem viripara decima, puellæ vero & quarta
Media: hac vero & oves, & curvipedes retortis cornibus
Et canem asperis dentibus, mulosq; laboriosos (boves,
Cicurato, manum imponens. cautus vero esto animo,
Vt quartam vites desinentis & inchoati mensis,
Doloribus cõficiendo animo. valde hæc accõmoda est dies.
Quarta autem mensis uxorem domum ducito,
Observatis avibus quæ ad hanc rem sunt optimæ.
Quintas vero evitato: quia difficiles sunt & graves.
In quinta enim aiunt Furias obambulare, (periuris.
Periurium vindicantes, quod malum contentio genuit
Media vero septima, Cereris sacrum munus
Diligenter inspiciens bene æquata in area
Ventilato: roborumq; sector incidito cubilaria ligna,
Navaliaq; ligna multa, & quæ navibus congrua sunt.
Quarta vero incipito naves compingere hiantes.
Nona autem media pomeridiana, melior dies.
Prima vero nona prorsus innoxia hominibus.
Bona siquidem est ad plantandum, & ad generandum,
Tam viro quam mulieri: nec unquam prorsus mala dies.
Sed pauci rursus sciunt tertium nonum mensis optimum
Implendis doliјs, & ad iugum collo imponendum,
Bobus & mulis, & equis celeribus.
Navem bene clavatam celerem in nigrum pontum
Trahito. Sed pauci vera intelligunt.
Quarta vero aperi dolium. præ omnibus sacra dies est

Media: pauci vero rursum post vicesimam mensis optimam,
Aurora vigente: pomeridiana vero est deterior.
Et hæ quidem dies sunt hominibus magno commodo.
Cæteræ autem incertæ, sine sorte, nihil ferentes.
Sed alius aliam laudat, pauci vero norunt.
Interdum noverca est dies, interdum mater.
De his beatusque & felix, qui hæc omnia
Sciens operatus fuerit, inculpatus dijs,
Auguria observans, & delicta evitans.

FINIS.

Μέσση· παῦροι δ' αὐτῆ μετ' εἰκάδα μηνὸς ἀρίστην,
Ἠοῦς γινομένης· ἐπιδείελα δ' ἐστὶ χερείων.
Αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ.
Αἱ δ' ἄλλαι, μετάδουποι, ἀκήριοι, οὔ τι φέρουσαι.
Ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δέ τ' ἴσασιν.
Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ·
Τάων εὐδαίμων τε καὶ ὄλβιος ὃς τάδε πάντα
Εἰδὼς ἐργάζηται ἀναίτιος ἀθανάτοισιν,
Ὄρνιθας κρίνων, καὶ ὑπερβασίας ἀλεείνων.

ΤΕ΄ΛΟΣ.

ΗΣΙΟΔΟΥ ΤΟΥ ΑΣΚΡΑΙΟΥ

ΑΣΠΙΣ

ΗΡΑΚΛΕΟΥΣ.

HESIODI ASCRÆI

SCVTVM

HERCVLIS.

ARGVMENTVM SCVTI.

TAphij expeditione ad Electryonis boves suscepta, interfecerunt Alcmenæ fratres, jumentorum defensores. Amphitryone autem volente cum ipsa coire, non prius ei promisit, quam de fratricidis pœnas sumpsisset. Ille autem expeditione in eos suscepta, interfecit eos. Sed eadem nocte coeunt cum ipsa uterque, Iupiter & Amphitryon: hic quidem ex bello reversus, Iupiter autem volens hominibus auxiliatorem generare. Illa vero parit ex Amphitryone quidem Iphiclem, ex Iove autem Herculem: qui & contra Cygnum Martis filium, aurigam habens Iolaum, militat: qui decimas ducentes ad Pytho, deprædabatur. Protectus igitur facto à Vulcano scuto, accedit ad Trachina, ad Ceycem. Congressusque cum Cygno, ipsum quidem interemit: Martem vero scuto defendentem filium, in femore vulnerat. Atque ita venit ad Ceycem. Erat autem Cygnus gener Ceycis ob filiam Themistonomen.

DE EODEM SCVTO.

HVius Aspidis principium in IIII. Catalogo habetur usque ad versum 50, & 200. Suspicatus est autem Aristophanes, non Comicus ille, sed quidam alius, Grammaticus, non esse ipsam Hesiodi, sed alterius cuiusdam, qui Homericum scutum imitandum sibi delegerit. Megacles autem Atheniensis, legitimum poema agnoscit: Hesiodum tamen reprehendit: ait quippe, absurdum esse, quod fecerit, Vulcanum matris hostibus arma præbentem. Apollonius autem Rhodius in 3. dicit, ipsius esse, & ex stylo, & quod Iolaus in Catalogo invenitur aurigans Herculi. Itidem & Stesichorus dicit, Hesiodi esse hoc poema.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΑΣΠΙΔΟΣ.

Τάφιοι στρατεύσαντες ἐπὶ τὰς Ἠλεκτρύωνος βοῦς, ἀνεῖλον τοὺς τῆς Ἀλκμήνης ἀδελφούς, τῶν θρεμμάτων ὑπεραγωνιζομένους. τοῦ δὲ Ἀμφιτρύωνος βουλομένου αὐτῇ συνελθεῖν, ἡ πρότερον αὐτῷ ὑπέσχετο, πρὶν ἢ παρὰ τῶν ἀδελφοκτόνων εἰσπράξηται τιμωρίαν. ὁ δὲ ἐπιστρατεύσας, ἀνεῖλεν αὐτούς. κατὰ δὲ τὴν αὐτὴν νύκτα συνέρχονται αὐτῇ ἀμφότεροι, ὅ, τε Ζεὺς καὶ ὁ Ἀμφιτρύων· ὁ μὲν ἐκ τοῦ πολέμου ὑποστρέψας· Ζεὺς δὲ βουληθεὶς τοῖς ἀνθρώποις βοηθὸν γεννῆσαι. ἡ δὲ κύει, ἐκ μὲν Ἀμφιτρύωνος Ἰφικλέα, ἐκ δὲ Διὸς Ἡρακλέα· ὃς καὶ ἐπὶ Κύκνον Ἄρεος υἱὸν ἡνίοχον ἔχων Ἰόλαον στρατεύεται· ὃς τοὺς τὰς δεκάδας ἄγοντας εἰς Πυθὼ, περιεσύλα. σκεπασθεὶς οὖν Ἡφαιστοτεύκτῳ ἀσπίδι, πρόεισιν εἰς τὰ ἔργα πρὸς Κήϋκα. συμβαλὼν δὲ τῷ Κύκνῳ, αὐτὸν μὲν ἀναιρεῖ· τὸν δὲ Ἄρην ὑπερασπίζοντα τοῦ υἱοῦ, κατὰ μηρὸν τιτρώσκει, καὶ οὕτως ἔρχεται πρὸς Κήϋκα. ἦν δὲ ὁ Κύκνος, γαμβρὸς Κήϋκος, ἐπὶ θυγατρὶ Θεμιστονόμῃ.

ΠΕΡΙ ΤΗΣ ΑΥΤΗΣ ΑΣΠΙΔΟΣ.

Τῆς Ἀσπίδος ἡ ἀρχὴ ἐν τῷ δ΄. καταλόγῳ φέρεται μέχρι στίχων ν΄ καὶ ϛ΄. ὑπώπτευκε δὲ Ἀριστοφάνης, οὐχ ὁ Κωμικός, ἀλλά τις ἕτερος, Γραμματικός, ὡς οὐκ οὖσαν αὐτὴν Ἡσιόδου, ἀλλ᾽ ἑτέρου τινὸς τὴν Ὁμηρικὴν ἀσπίδα μιμήσασθαι προαιρουμένου. Μεγακλῆς δὲ ὁ Ἀθηναῖος γνήσιον μὲν οἶδε τὸ ποίημα· ἄλλως δὲ ἐπιτιμᾷ τῷ Ἡσιόδῳ· ἄλογον γάρ, φησι, ποιεῖν Ἥφαιστον τοῖς τῆς μητρὸς ἐχθροῖς ὅπλα παρέχοντα. Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῷ γ φησὶν αὐτοῦ εἶναι, ἔκ τε τοῦ χαρακτῆρος, καὶ ἐκ τοῦ τὸν Ἰόλαον ἐν τῷ καταλόγῳ εὑρίσκειν, ἡνιοχοῦντα τῷ Ἡρακλεῖ. ὡσαύτως δὲ καὶ Στησίχορός φησιν, Ἡσιόδου εἶναι τὸ ποίημα.

ΗΣΙΟΔΟΥ ΤΟΥ ΑΣΚΡΑΙΟΥ

Ἀσπὶς Ἡρακλέους.

Ἢ οἵη προλιποῦσα δόμους καὶ πατρίδα γαῖαν
Ἤλυθεν ἐς Θήβας, μετ' ἀρήϊον Ἀμφιτρύωνα,
Ἀλκμήνη, θυγάτηρ λαοσσόου Ἠλεκτρύωνος.
Ἥ ῥα γυναικῶν φῦλον ἐκαίνυτο θηλυτεράων
Εἴδεΐ τε μεγέθει τε· νόον γε μὲν οὔτις ἔριζε
Τάων ἃς θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι,
Τῆς καὶ ἀπὸ κρῆθεν, βλεφάρων τ' ἀπὸ κυανεάων
Τοῖον ἄηθ' οἷόν τε πολυχρύσου Ἀφροδίτης.
Ἣ δὲ καὶ ὣς κατὰ θυμὸν ἑὸν τίεσκεν ἀκοίτην,
Ὡς οὔπω τίς ἔτισε γυναικῶν θηλυτεράων.
Ἦ μέν οἱ πατέρ' ἐσθλὸν ἀπέκτανεν ἶφι δαμάσσας,
Χωσάμενος περὶ βουσί. λιπὼν δ' ὅγε πατρίδα γαῖαν
Ἐς Θήβας ἱκέτευσε φερεσσακέας Καδμείους,
Ἔνθ' ὅγε δώματ' ἔναιε σὺν αἰδοίῃ παρακοίτι,
Νόσφιν ἄτερ φιλότητος ἐφιμέρου. οὐ γάρ οἱ ἦεν
Πρὶν λεχέων ἐπιβῆναι ἐϋσφύρου Ἠλεκτρυώνης,
Πρίν γε φόνον τίσαιτο κασιγνήτων μεγαθύμων
Ἧς ἀλόχου, μαλερῷ δὲ καταφλέξαι πυρὶ κώμας
Ἀνδρῶν ἡρώων Ταφίων ἰδὲ Τηλεβοάων.
Ὡς γάρ οἱ διέκειτο· θεοὶ δ' ἐπιμάρτυροι ἦσαν,
Τῶν ὅγ' ὀπίζετο μῆνιν· ἐπείγετο δ' ὅττι τάχιστα,
Ἐκτελέσαι μέγα ἔργον, ὅ οἱ Διόθεν θέμις ἦεν.
Τῷ δ' ἅμα, ἱέμενοι πολέμοιό τε φυλόπιδός τε
Βοιωτοὶ πλήξιπποι, ὑπὲρ σακέων πνείοντες,

HESIODI ASCRÆI
Scutum Herculis.

AUt qualis relicta domo ac patria tellure
Venit Thebas, secuta maritum Amphitryonem,
Alcmena, filia populorũ dissipatoris Electryonis:
Quæ mulierum genus superabat fœminearum,
Formaque & proceritate. mente utique nulla cum ea certabat (tes.
Illarum quas mortales mortalibus peperere concumben-
Cuius & a vertice, & a palpebris nigricantibus
Tale quiddam spirabat, quale & ab aurea Venere.
Atq; hæc talis existens, tã animo suum colebat coniugẽ,
Perinde ut nulla unquam coluit mulierũ fœminearum,
Quanquam ipsi patrẽ præstantẽ occidisset, vi domitum,
Ira cõmotus propter boves. relicta antẽ ille patria tellure
Thebas venit, supplicans scutatis Cadmeis.
Vbi idem habitabat cum veneranda coniuge, (ipsi
Seorsim absque concubitu desiderabili. Non enim licebat
Ante lectum conscendere formosæ Electryonidis,
Quam cædem ultus esset fratrum magnanimorum
Suæ coniugis, flagrantique combussisset igne vicos
Virorum heroum Taphiorum atque Teleboarum.
Ita enim constitutum ipsi erat, dijq; testes facti fuerant.
Quorũ ille verebatur iram, festinabatq; quã celerrime
Exequi magnum opus, quod ipsi divinitus incumbebat.
Hunc autem una cupidi bellique prælijque,
Bœotij equitando insignes, supra clypeos animũ gerentes,

Locriq; comminus pugnantes, & Phocenses magnanimi
Sequebantur. ducebat autem eos præstans puer Alcæi,
Gaudens tot populis. At pater hominumq; deorumq;
Aliud consilium texebat in animo, ut diis pariter
Et hominibus rerum indagatoribus Martis depulsatorem plantaret.
Profectus autē ab Olympo est dolum alta mente voluens,
Desiderans concubitum elegantis mulieris,
Per noctem: celeriterq; venit in Typhaonium, unde rursum
Ad Phicium summum accessit prudens Iupiter,
Ubi residens mente versabat divina opera.
Nam eadem quidem nocte cum procera Electryonide
In lecto concubitu mixtus est, perfecitq; desiderium:
Eadem autem & Amphitryo populorum dissipator, illustris heros,
Perfecto magno opere, rediit domū suam.
Neque ille ad famulos & pastores agrestes
Cœpit ire antea, quam suæ coniugis conscendisset lectum.
Tale siquidē corde desiderium ceperat pastorē populorū.
Sicut quando quispiam magno affectu effugit afflictionē
Morbo ex difficili, aut etiam validis ex vinculis:
Ita tunc Amphitryo difficili labore exantlato,
Magnoq; affectu, lubētiq; animo, domū suam reversus est,
Totaque nocte concubuit cum veneranda uxore,
Oblectando se muneribus aureæ Veneris.
Illa autē a dea pariter domita, & ab homine lōge optimo,
Thebis septē portas habentibus geminos peperit pueros,
Haud quaquam similes, quanquam fratres essent.
Alterum siquidem inferiorem, alterum autem longe præstantiorem virum,
Sæuum ac validum, vim Herculanam:

Hunc

Λοκροί τ' ἀγχέμαχοι καὶ Φωκῆες μεγάθυμοι.
Ἕσποντ'· ἦρχε δὲ τοῖσιν ἐῢς πάϊς Ἀλκαίοιο,
Κυδιόων λαοῖσι. πατὴρ δ' ἀνδρῶν τε θεῶν τε
Ἄλλην μῆτιν ὕφαινε μετὰ φρεσὶν, ὄφρα θεοῖσιν
Ἀνδράσι τ' ἀλφηστῆσιν ἀρῆς ἀλκτῆρα φυτεύσῃ,
Ὦρτο δ' ἀπ' Οὐλύμποιο δόλον φρεσὶ βυσσοδομεύων.
Ἱμείρων φιλότητος ἐϋζώνοιο γυναικὸς,
Ἐννύχιος· τάχα δ' ἷξε Τυφαόνιον, τόθεν αὖθις
Φίκιον ἀκρότατον προσεβήσατο μητίετα Ζεύς.
Ἔνθα καθεζόμενος, φρεσὶ μήδετο θέσκελα ἔργα.
Αὐτῇ μὲν γὰρ νυκτὶ τανυσφύρου Ἠλεκτρυώνης
Εὐνῇ καὶ φιλότητι μίγη, τέλεσεν δ' ἄρ' ἐέλδωρ·
Αὐτῇ δ' Ἀμφιτρύων λαοσσόος ἀγλαὸς ἥρως
Ἐκτελέσας μέγα ἔργον, ἀφίκετο ὅνδε δόμονδε.
Οὐδ' ὅγ' ἐπὶ δμῶας καὶ ποιμένας ἀγροιώτας
Ὦρτ' ἴεναι, πρίν γ' ἧς ἀλόχου ἐπιβήμεναι εὐνῆς·
Τοῖος γὰρ κραδίην πόθος αἴνυτο ποιμένα λαῶν.
Ὡς δ' ὅτ' ἀνὴρ ἀσπαστὸν ὑπεκπροφύγῃ κακότητα
Νούσου ὑπ' ἀργαλέης, ἢ καὶ κρατεροῦ ὑπὸ δεσμοῦ·
Ὥς ῥα τότ' Ἀμφιτρύων χαλεπὸν πόνον ἐκτελυπεύσας,
Ἀσπασίως τε φίλως τε ἑὸν δόμον εἰσαφίκανε.
Παννύχιος δ' ἄρ' ἔλεκτο σὺν αἰδοίῃ παρακοίτι,
Τερπόμενος δώροισι πολυχρύσου Ἀφροδίτης.
Ἡ δὲ θεῷ δμηθεῖσα καὶ ἀνέρι πολλὸν ἀρίστῳ,
Θήβῃ ἐν ἑπταπύλῳ διδυμάονε γείνατο παῖδε,
Οὐκ ἔθ' ὁμὰ φρονέοντε· (κασιγνήτω γε μὲν ἤστην)
Τὸν μὲν χειρότερον, τὸν δ' αὖ μέγ' ἀμείνονα φῶτα,
Δεινόν τε κρατερόν τε, βίην Ἡρακληείην·

Τὸν μὲν ὑποδμηθεῖσα κελαινεφέϊ Κρονίωνι,
Αὐτὰρ Ἰφικλῆα γε δορυσσόῳ Ἀμφιτρύωνι,
Κεκριμμένην γενεήν. τὸν μὲν βροτῷ ἀνδρὶ μιγεῖσα,
Τὸν δὲ, Διῒ Κρονίωνι θεῶν σημάντορι πάντων·
Ὃς καὶ Κύκνον ἔπεφνεν Ἀρητιάδην, μεγάθυμον.
Εὗρε γὰρ ἐν τεμένει ἑκατηβόλου Ἀπόλλωνος
Αὐτὸν, καὶ πατέρ' ἐν, Ἄρην, ἄτον πολέμοιο,
Τεύχεσι λαμπομένους σέλας ὡς πυρὸς αἰθομένοιο
Ἑσταότ' ἐν δίφρῳ. χθόνα δ' ἔκτυπον ὠκέες ἵπποι,
Νύσσοντες χηλῇσι· κόνις δέ σφ' ἀμφιδεδήει,
Κοπτομένη πλεκτοῖσιν ὑφ' ἅρμασι καὶ ποσὶν ἵππων.
Ἅρματα δ' εὐποίητα καὶ ἄντυγες ἀμφαράβιζον
Ἵππων ἱεμένων. κεχάρητο δὲ Κύκνος ἀμύμων,
Ἐλπόμενος Διὸς υἱὸν ἀρήϊον, ἡνίοχόν τε,
Χαλκῷ δῃώσειν, καὶ ἀπὸ κλυτὰ τεύχεα δύσειν.
Ἀλλά οἱ εὐχωλέων οὐκ ἔκλυε Φοῖβος Ἀπόλλων.
Αὐτὸς γάρ οἱ ἐπῶρσε βίην Ἡρακληείην·
Πᾶν δ' ἄλσος καὶ βωμὸς Ἀπόλλωνος Παγασαίου
Λάμπεν ὑπαὶ δεινοῖο θεοῦ τευχέων τε καὶ αὐτοῦ·
Πῦρ δ' ὡς ὀφθαλμῶν ἀπελάμπετο. τίς κεν ἐκείνου
Ἔτλη θνητὸς ἐὼν κατεναντίον ὁρμηθῆναι,
Πλὴν Ἡρακλῆος καὶ κυδαλίμου Ἰολάου;
Κείνων γὰρ μεγάλη τε βίη καὶ χεῖρες ἄαπτοι
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
Ὅς ῥα τόθ' ἡνίοχον προσέφη κρατερὸν Ἰόλαον.
Ἥρως, ὦ Ἰόλαε, βροτῶν πολὺ φίλτατε πάντων,
Ἦ τι μετ' ἀθανάτους μάκαρας, τοὶ Ὄλυμπον ἔχουσιν,
Ἤλιτεν Ἀμφιτρύων, ὅτ' εὐστέφανον ποτὶ Θήβην

Hunc quidem compressa a nubium offuscatore Saturnio,
Iphiclum autem, hastarum a concussore Amphitryone,
Diversa generatione: alterum quidem, cum viro mortali concumbens: (omnium,
Alterum autem, cum Saturnio deorum imperatore
Qui & Cygnum occidit, Martis filium, magnanimum.
Invenit enim in luco longe iaculantis Apollinis
Ipsum, & patrem ipsius, Martem, bello insatiabilem,
Armis fulgentes, ceu fulgor ignis ardentis,
Stantes in curru: terram autem pulsabant veloces equi,
Ferientes ungulis, pulvisque circa ipsos dividebatur,
Excitatus compactis a curribus & pedibus equorum.
Currus autem fabrefacti & rotarum ambitus circum resonabant,
Equis festinantibus. gaudebat autē Cygnus inculpatus,
Sperans se Iovis filium, Mavortium, aurigamque
Ferro interempturum esse, & inclyta arma despoliaturū.
Sed ipsius vota non exaudivit Phœbus Apollo.
Ipse enim contra illum concitavit vim Herculeam.
Totus vero lucus & ara Appollinis Pagasæi
Collucebat præ vehementis Dei armis, & ipso,
Et quasi quidē ignis ex oculis effulgebat. Quis autē illi
Sustinuisset, mortalis existēs, obviam sub cōspectū prodire,
Præter Herculem & gloriosum Iolaum?
Illorum enim & vis magna, & manus invictæ
Ex humeris natæ erant, una cum robustis membris.
Is igitur tunc aurigam allocutus est fortem Iolaum.
O heros Iolae, mortalium longe charissime omnium,
Nempe vere in immortales beatos, qui olympum tenent,
Peccavit Amphitryo, quoniam bene munitas ad Thebas

Abijt, relicta Tirynthο, urbe bene fundata,
Postquam occiderat Electryonem, propter boves latas
habentes frontes: (stibus,
Venitq; ad Creontem, & Heniochem longis ornatam ve-
Qui ipsum ultro receperunt, & necessaria omnia præ-
buerunt.
Qua fas est supplicibus, coluerunt q; ex animo magis.
Vivebat autem exultabundus cum formosa Electryonide
Coniuge sua: moxque nos revoluto anno
Nati sumus, neq; statura similes corporis, neque ingenio,
Pater tuus & ego: cuius quidem mentem sustulit Iupiter,
Qui relicta domoque sua, & suis parentibus,
Abijt veneraturus immaturo partu editum Eurystheum:
Infælix. certe multum ingemiscebat postea,
Noxam suam lugens: sed illa irrevocabilis est.
Mihi vero deus difficiles imperavit labores.
O amice, sed tu celeriter contine habenas rutilantes
Equorum alipedum, magnamque mentibus fiduciam ac-
cumulans (rum,
Recta dirige celerem currum, & alipedum robur equo-
Nihil veritus strepitum Martis, hominum occisoris,
Qui nunc cũ clangore circumquaq; furit per sacrũ nemus
Phœbi Apollinis, longe iaculantis regis.
Enimvero, etiam validus licet existat, tamen exsatu-
rabitur bello.
Hunc contra allocutus est inculpatus Iolaus:
O patrue, quam multũ vero pater hominũ atq; deorum
Honorat caput tuum, & taurinus Neptunus,
Qui Thebarum mœnia tenet, & tuetur civitatem:
Quemadmodũ & hunc mortalẽ, validumq; magnumq;

Tuas

Ἦλθε, λιπὼν Τίρυνθον ἐϋκτίμενον πτολίεθρον,
Κτείνας Ἠλεκτρύωνα, βοῶν ἕνεκ' εὐρυμετώπων.
Ἵκετο δ' εἰς Κρείοντα καὶ Ἡνιόχην τανύπεπλον,
Οἵ ῥά μιν ἠσπάζοντο καὶ ἄρμενα πάντα παρεῖχον,
Ἣ δίκη ἔσθ' ἱκέτησι· τίον δ' ἄρα κηρόθι μᾶλλον·
Ζῶε δ' ἀγαλλόμενος σὺν ἐϋσφύρῳ Ἠλεκτρυώνῃ
Ἧι ἀλόχῳ. τάχα δ' ἄμμες ἐπιπλομένων ἐνιαυτῶν
Γεινόμεθ' οὔτε φυὴν ἐναλίγκιοι οὔτε νόημα,
Σός τε πατὴρ καὶ ἐγώ, τοῦ μὲν φρένας ἐξέλετο Ζεύς·
Ὃς προλιπὼν σφέτερόν τε δόμον σφετέρους τε τοκῆας,
Ὤιχετο τιμήσων ἀλιτήμενον Εὐρυσθῆα,
Σχέτλιος· ἦ που πολλὰ μετεστοναχίζετ' ὀπίσσω,
Ἣν ἄτην ἀχέων· ἡ δ' οὐ παλινάγρετός ἐστιν.
Αὐτὰρ ἐμοὶ δαίμων χαλεποὺς ἐπετέλλετ' ἀέθλους.
Ὦ φίλος, ἀλλὰ σὺ θᾶσσον ἔχ' ἡνία φοινικόεντα
Ἵππων ὠκυπόδων· μέγα δὲ φρεσὶ θάρσος ἀέξων,
Ἰθὺς ἔχειν θοὸν ἅρμα καὶ ὠκυπόδων σθένος ἵππων
Μηδὲν ὑποδδείσας κτύπον Ἄρεος ἀνδροφόνοιο,
Ὃς νῦν κεκληγὼς περιμαίνεται ἱερὸν ἄλσος
Φοίβου Ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος·
Ἦ μὴν καὶ κρατερός περ ἐὼν ἄαται πολέμοιο.
Τὸν δ' αὖτε προσέειπεν ἀμώμητος Ἰόλαος,
Ἠθεῖ', ἦ μάλα δή τι πατὴρ ἀνδρῶν τε θεῶν τε
Τιμᾷ σὴν κεφαλὴν, καὶ ταύρεος Ἐννοσίγαιος,
Ὃς Θήβης κρήδεμνον ἔχει, ῥύεταί τε πόληα.
Οἷον δὴ καὶ τόνδε βροτὸν κρατερόν τε μέγαν τε

Σας ἐς χεῖρας ἄγουσιν, ἵνα κλέος ἐσθλὸν ἄρηαι.
Ἀλλά γε δύσεο τεύχε' ἀρήια, ὄφρα τάχιστα
Δίφρους ἐμπελάσαντες Ἄρηός θ' ἡμέτερόν τε
Μαρνώμεσθ'. ἐπεὶ οὔτι ἀτάρβητον Διὸς υἱὸν
Οὐδ' Ἰφικλείδην δειδίξεται· ἀλλά μιν οἴω
Φεύξεσθαι δύο παῖδας ἀμύμονος Ἀλκείδαο,
Οἳ δή σφι σχεδὸν εἰσι. λιλαιόμενοι πολέμοιο
Φυλόπιδα στήσειν· τά σφιν πολὺ φίλτερα θοίνης.
Ὣς φάτο. μείδησεν δὲ βίη Ἡρακληείη,
Θυμῷ γηθήσας· μάλα γάρ νύ οἱ ἄρμενα εἶπεν.
Καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα.
Ἥρως ὦ Ἰόλαε, διοτρεφὲς, οὐκέτι τηλοῦ
Ὑσμίνη τρηχεῖα· σὺ δ' ὡς πάρος ἦσθα δαΐφρων,
Ὣς καὶ νῦν μέγαν ἵππον Ἀρείονα κυανοχαίτην
Πάντη ἀναστρωφᾶν καὶ ἀρηγέμεν, ὥς κε δύνηαι.
Ὣς εἰπὼν, κνημῖδας ὀρειχάλκοιο φαεινοῦ,
Ἡφαίστου κλυτὰ δῶρα, περὶ κνήμῃσιν ἔθηκε.
Δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε
Καλὸν, χρύσειον, πολυδαίδαλον. ὅν ῥ' οἱ ἔδωκε
Παλλὰς Ἀθηναίη κούρη Διὸς, ὁππότ' ἔμελλε
Τοπρῶτον στονόεντας ἐφορμήσασθαι ἀέθλους.
Θήκατο δ' ἀμφ' ὤμοισιν ἀρῆς ἀλκτῆρα σίδηρον
Δεινὸς ἀνήρ· κοίλην δὲ περὶ στήθεσσι φαρέτρην,
Καββάλετ' ἐξόπιθεν· πολλοὶ δ' ἔντοσθεν ὀϊστοὶ
Ῥιγηλοὶ, θανάτοιο λαθιφθόγγοιο δοτῆρες.
Πρόσθεν μὲν θάνατόν τ' εἶχον, καὶ δάκρυσι μῦρον·
Μέσσοι δὲ ξεστοὶ, περιμήκεες· αὐτὰρ ὄπισθεν
Μορφνοῖο φλεγύαο καλυπτόμενοι πτερύγεσσιν

Tuas in manus adducunt, ut gloriam magnam auferas.
Sed age, induere arma Mavortia, ut quam celerrime
Currus inter se committentes Martis & nostrum,
Decertemus. Quoniam neq; intrepidum Iovis filium,
Neque Iphiclidem perterrebit: sed ipsum puto
Mox fugiturum duos pueros inculpati Alcidæ,
Qui prope adsunt, cupientes bello (epulæ.
Certamen instituere. quæ res ipsis multo gratior quam
Sic ait. arrisit autem fortis Hercules,
Animo oblectatus: admodum enim illi grata dixerat.
Atq; ipsum, respondens, verbis volucribus allocutus est:
O heros Iolae, Iovis alumne, non procul etiam hinc
Pugna aspera. Tu vero quẽadmodũ antea fuisti bellicosus,
Ita & nunc magnum equum Arionem nigricantibus setis obsitum
Quoquoversum converte, & auxiliare pro eo ac poteris.
Sic locutus, ocreas ex Orichalco splendido,
Vulcani inclyta dona, tibijs induxit.
Mox & thoracem pectori induit
Pulchrum, aureum, variegatum: quem ipsi dederat
Pallas Minerva filia Iovis, tunc cum cœperat
Primum luctuosa aggredi certamina.
Posuit autẽ circa humeros nocumenti depulsorium ferrũ,
Sævus vir: cavam autem circa pectora pharetram,
Reiecitque in tergum. in hac multæ erant sagittæ
Horrendæ, mortis vocem reprimentis datrices.
Hæ ab anteriori quidem parte mortem habebant præfixam, & lachrymis madebant:
Mediæ autem politæ erant, longæ: sed a tergo
Nigræ aquilæ contectæ alis

Erant. ille autē validam hastam præfixam ære corripuit.
Capiti vero ingenti galeam fabrefactam imposuit,
Variegatam, ferream, temporibus adaptatam,
Quæ tutum reddebat caput Herculis divini.
At manibus clypeum accepit, varium totum, quem nemo quisquam
Neq; perrupisset iaciendo, neq; comminuisset, mirū visu.
Nam totus quidem circumquaq; gypso, candidoq; ebore,
Et electro lucidus erat, auroque fulgido,
Splendens: cæruleis plicis fulgorem inter secantibus.
In medio autem draconis erat terror, haud quaquā effabilis,
Retro oculis igne lucentibus tuens.
Cuius & dentibus quidē repletum erat os candicātibus,
Sævis, inaccessis. super terribilem autem frontem
Sæva contentio devolitabat, accendens pugnas hominū;
Tetra, quæ & mentem eximebat & præcordia viris
Quicunque bellum adversus Iovis filium gererent.
Quorum & animæ quidē sub terrā eunt ad Orcum intro
Ipsorum: ossa autem ipsis, pelle circum putrefacta,
Sirio sub torrido in nigra putrescunt terra.
In eo autem & propersecutio, & viceversa persecutio factæ erant.
In eo tumultus, horror, & homicidium huc illuc ferebantur.
In eo contentio quoque, & motus furebat: in eo perniciosa Parca,
Vivum alium tenens recens vulneratum, alium autem illæsum.
Alium mortuum per pugnam trahebat pedibus.
Vestem autem habebat circum humeros cruentam sanguine virorum,
Sævum videns, clamoribusque ingravescens.

Ἦσιν. ὁ δ' ὄβριμον ἔγχος ἀκαχμένον εἵλετο χαλκῷ
Κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκε,
Δαιδαλέην, ἀδάμαντος, ἐπὶ κροτάφοις ἀραρυῖαν,
Ἥτ' εἴρυτο κάρη Ἡρακλῆος θείοιο.
ΧΕΡΣΙ γε μὲν σάκος εἷλε πανάιολον· οὐδέ τις αὐτὸ
Οὔτ' ἔρρηξε βαλὼν, οὔτ' ἔθλασε, θαῦμα ἰδέσθαι.
Πᾶν μὲν γὰρ κύκλῳ τιτάνῳ λευκῷ τ' ἐλέφαντι,
Ἠλέκτρῳ θ' ὑπολαμπὲς ἔην, χρυσῷ τε φαεινῷ,
Λαμπόμενον· κυάνου δὲ διὰ πτύχες ἠλήλαντο.
Ἐν μέσσῳ δὲ δράκοντος ἔην φόβος, οὔτι φατειός,
Ἔμπαλιν ὄσσοισιν πυρὶ λαμπομένοισι δεδορκώς.
Τοῦ καὶ ὀδόντων μὲν πλῆτο στόμα λευκαθεόντων,
Δεινῶν, ἀπλήτων. ἐπὶ δὲ βλοσυροῖο μετώπου
Δεινὴ Ἔρις πεπότητο, κορύσσουσα κλόνον ἀνδρῶν,
Σχετλίη, ἥ ῥα νόον τε καὶ ἐκ φρένας εἵλετο φωτῶν
Οἵτινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν.
Τῶν καὶ ψυχαὶ μὲν χθόνα δύνουσ' ἄϊδος εἴσω
Αὐτῶν. ὀστέα δέ σφι περὶ ῥινοῖο σαπείσης,
Σειρίου ἀζαλέοιο κελαινῇ πύθεται αἴῃ.
Ἐν δὲ προΐωξίς τε παλίωξίς τε τέτυκτο·
Ἐν δ' ὅμαδός τε, φόβος τ', ἀνδροκτασίη τε δεδήει.
Ἐν δ' ἔρις, ἐν δὲ κυδοιμὸς ἐθύνεον, ἐν δ' ὀλοὴ κὴρ,
Ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
Ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν.
Εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφείνεον αἵματι φωτῶν,
Δεινὸν δερκομένη, καναχῇσί τε βεβρυχυῖα.

Ἐν δ᾽ ὀφίων κεφαλαὶ δεινῶν ἔσαν οὔτι φατειῶν
Δώδεκα· ταὶ φοβέεσκον ἐπὶ χθονὶ φῦλ᾽ ἀνθρώπων,
Οἵτινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν.
Τῶν καὶ ὀδόντων μὲν καναχὴ πέλεν εὖτε μάχοιτο
Ἀμφιτρυωνιάδης· τὰ δ᾽ δαίετο θωϋτὰ ἔργα.
Στίγματα δ᾽ ὡς ἐπέφαντο ἰδεῖν δεινοῖσι δράκουσι
Κυανέα κατὰ νῶτα, μελάνθησαν δὲ γένεια.
Ἐν δὲ συῶν ἀγέλαι χλούνων ἔσαν ἠδὲ λεόντων
Ἐς σφέας δερκομένων, κοτεόντων τ᾽ ἱεμένων τε.
Τῶν καὶ ὁμιληδὸν στίχες ᾔισαν· οὐδέ νυ τώγε
Οὐδέτεροι τρεέτην· φρίσσον γε μὲν αὐχένας ἄμφω.
Ἤδη γάρ σφιν ἔκειτο μέγας λῖς, ἀμφὶ δὲ κάπροι
Δοιοὶ ἀπουράμενοι ψυχάς, κατὰ δέ σφι κελαινὸν
Αἷμ᾽ ἀπελείβετ᾽ ἔραζ᾽. οἱ δὲ, αὐχένας ἐξεριπόντες,
Κείατο τεθνηῶτες ὑπὸ βλοσυροῖσι λέουσι.
Τοὶ δ᾽ ἔτι μᾶλλον ἐγειρέσθην, κοτέοντε μάχεσθαι,
Ἀμφότεροι, χλοῦναί τε σύες, χαροποί τε λέοντες.
Ἐν δ᾽ ἦν ὑσμίνη Λαπιθάων αἰχμητάων,
Καινέα τ᾽ ἀμφὶ ἄνακτα, Δρύαντά τε, Πειρίθοόν τε,
Ὁπλέα τ᾽, Ἐξάδιόν τε, Φάληρόν τε, Πρόλοχόν τε,
Μόψον τ᾽ Ἀμπυκίδην, Τιταρήσιον, ὄζον Ἄρηος,
Θησέα τ᾽ Αἰγείδην, ἐπιείκελον ἀθανάτοισιν·
Ἀργύρεοι, χρύσεια περὶ χροῒ τεύχε᾽ ἔχοντες.
Κένταυροι δ᾽ ἑτέρωθεν ἐναντίοι ἠγερέθοντο
Ἀμφὶ μέγαν Πετραῖον, ἰδ᾽ Ἄσβολον οἰωνιστήν,
Ἄρκτον θ᾽ Οὔρειόν τε, μελαγχαίτην τε Μίμαντα,
Καὶ δύο Πευκείδας, Περιμήδεά τε, Δρύαλόν τε,

In eo autem & serpentum capita sævorum erant haud quaquam effabilium, (hominum,
Duodecim, quæ perterrefaciebant super terram genera
Quicunque bellum contra Iovis filium moverent.
Quorum & dentium quidem crepitus edebatur, quoties pugnabat (opera:
Amphitryoniades. Hæc autem distincta erant miranda
Porro veluti puncta quædam apparebant videnda sævis draconibus
Cærulea per terga, denigratæque erant illis maxillæ.
In eo autẽ & suum greges agrestium erant, atq; leonum
Mutuo sese aspicientium, irascentiumq; & festinãtium,
Quarũ etiam turmatim ordines incedebant; neq; vero hi
Neq; illi alteros timebant, horrebãt attamẽ colla amborũ.
Iuxta enim ipsos iacebat magnus leo, circum autem apri
Duo, spoliati animas, deorsumque ipsis niger
Cruor distillabat in terrã. ipsi autem cervicibus deiectis
Iacebant mortui sub terribilibus leonibus.
At illi magis etiam excitabãtur, incensi ad pugnandum,
Vtrique agrestesque sues, trucesque leones.
In eo autem erat & pugna Lapitharum bellatorum,
Cœneum circa regem, Dryantemque Pirithoumque,
Hopleumque, Exadiumque, Phalerumque, Prolochumq;,
Mopsumque Ampycidem, Titaresium, nothum Martis,
Theseumque Ægeidem, similem immortalibus:
Argentei, aurea circum corpus arma habentes.
Centauri autẽ ex altera parte contra hos congregabãtur,
Magnus Petræus atque Asbolus augur,
Arctusque, Huriusque, nigerque pilis Mimas,
Et duo Peucidæ, Perimedes, Dryalusque,

Argentei, aureas abietes in manibus habentes.
Atq; impetum pariter faciebãt, perinde ac si vivi essent,
Lanceisque atque abietibus cominus certabant.
Inter hæc autem Martis terribilis alipedes stabant equi
Aurei, & ibidem ipse quoq; spoliator perniciosus Mars,
Mucronem in manibus habens, milites exhortans,
Sanguine cruentus, perinde atque vivos spolians,
Currui insistens. iuxta autem Pavorque Metusque
Stabant, gestientes bellum subire virorum.
Ibidem autem & Iovis filia prædatrix Tritogenia,
Ei similis, quasi quæ pugnam vellet armare,
Hastam habens in manibus aureamque galeam,
AEgidemque circum humeros: gradiebatur autem in prælium sævum. *(medio*
At erat in eo clypeo & immortalium chorus, in cuius
Desiderabile quiddam personabat Iovis & Latonæ filius
Aurea cithara. deorum autẽ frangebatur purus Olympus.
Ibi & forum, circum autem opulentia infinita, quasi in corona erat posita *(tum*
Immortalium in certamine: Deæ autẽ incipiebant can-
Musæ Pierides, canorum quiddam canentibus similes.
In eo autem & portus appulsu facilis immensi maris,
Rotundus factus erat liquefacto e stanno,
Inundanti similis: multi vero per medium ipsius
Delphines hac atque illac ferebantur piscibus inhiantes,
Natantibus similes. Duo autem sursum efflantes
Argentei delphines, depascebant mutos pisces.
Sub his ærei trepidabant pisces, sed in ripis
Sedebat vir piscator observans: habebat autẽ manibus
Piscium rete, proiecturo similis.

Ἀργύρεοι, χρυσέας ἐλάτας ἐν χερσὶν ἔχοντες.
Καί τε συναΐκτην ὡσεὶ ζωοί περ ἐόντες,
Ἔγχεσίτ' ἠδ' ἐλάτης αὐτοσχεδὸν ὠριγνῶντο.
Ἐν δ' Ἄρεος βλοσυροῖο ποδώκεες ἕστασαν ἵπποι
Χρύσεοι· ἐν δὲ καὶ αὐτὸς ἐναρφόρος οὔλιος Ἄρης
Αἰχμὴν ἐν χείρεσσιν ἔχων, πρυλέεσσι κελεύων,
Αἵματι φοινικόεις, ὡσεὶ ζωοὺς ἐναρίζων·
Δίφρῳ ἐμβεβαώς· παρὰ δὲ Δεῖμός τε Φόβος τε
Ἕστασαν, ἱέμενοι πόλεμον καταδύμεναι ἀνδρῶν.
Ἐν δὲ Διὸς θυγάτηρ ἀγελείη Τριτογένεια,
Τῇ ἰκέλη ὡσεί τε μάχην ἐθέλουσα κορύσσειν,
Ἔγχος ἔχουσ' ἐν χερσὶ χρυσείην τε τρυφάλειαν,
Αἰγίδα τ' ἀμφ' ὤμοις· ἐπὶ δ' ᾤχετο φύλοπιν αἰνήν.
Ἐν δ' ἦν ἀθανάτων ἱερὸς χορός· ἐν δ' ἄρα μέσσῳ
Ἱμερόεν κιθάριζεν Λητοῦς καὶ Διὸς υἱὸς
Χρυσείῃ φόρμιγγι· θεῶν δ' ἕδος ἁγνὸν Ὄλυμπος·
Ἐν δ' ἀγορή, περὶ δ' ὄλβος ἀπείριτος ἐστεφάνωτο
Ἀθανάτων ἐν ἀγῶνι· θεαὶ δ' ἐξῆρχον ἀοιδῆς
Μοῦσαι Πιερίδες, λιγὺ μελπομέναις εἰκυῖαι.
Ἐν δὲ λιμὴν εὔορμος ἀμαιμακέτοιο θαλάσσης
Κυκλοτερὴς ἐτέτυκτο πανέφθου κασσιτέροιο,
Κλυζομένῳ ἴκελος· πολλοί γε μὲν ἀμμέσον αὐτοῦ
Δελφῖνες τῇ καὶ τῇ ἐθύνεον ἰχθυάοντες,
Νηχομένοις ἴκελοι· δοιοὶ δ' ἀναφυσιόωντες
Ἀργύρεοι δελφῖνες ἐθοίνων ἔλλοπας ἰχθῦς.
Τῶν ὕπο χάλκειοι τρέον ἰχθύες· αὐτὰρ ἐπ' ἀκταῖς
Ἧστο ἀνὴρ ἁλιεὺς δεδοκημένος· εἶχε δὲ χερσὶν
Ἰχθύσιν ἀμφίβληστρον, ἀπορρίψοντι ἐοικώς.

Ἐν δ᾽ ἦν ἠϋκόμου Δανάης τέκος ἱππότα Περσεύς,
Οὔτ᾽ ἄρ᾽ ἐπιψαύων σάκεος ποσὶν, οὔθ᾽ ἑκὰς αὐτοῦ·
Θαῦμα μέγα φράσασθ᾽· ἐπεὶ οὐδαμῇ ἐστήρικτο.
Τὼς γάρ μιν παλάμαις τεῦξε κλυτὸς Ἀμφιγυήεις
Χρύσεον· ἀμφὶ δὲ ποσσὶν ἔχε πτερόεντα πέδιλα.
Ὤμοισιν δέ μιν ἀμφὶ μελάνδετον ἄορ ἔκειτο,
Χάλκεον ἐκ τελαμῶνος. ὁ δ᾽ ὥς τε νόημ᾽ ἐποτᾶτο,
Πᾶν δὲ μετάφρενον εἶχε κάρη δεινοῖο πελώρου,
Γοργοῦς· ἀμφὶ δέ μιν κίβυσις θέε, θαῦμα ἰδέσθαι,
Ἀργυρέη· θύσανοι δὲ κατηωρεῦντο φαεινοὶ
Χρύσειοι· δεινὴ δὲ περὶ κροτάφοισιν ἄνακτος
Κεῖτ᾽ Ἄϊδος κυνέη νυκτὸς ζόφον αἰνὸν ἔχουσα.
Αὐτὸς δὲ σπεύδοντι καὶ ἐρρίγοντι ἐοικὼς
Περσεὺς Δαναΐδης ἐτιταίνετο. ταὶ δὲ μετ᾽ αὐτὸν
Γοργόνες ἄπλητοί τε καὶ οὐ φαταὶ ἐρρώοντο,
Ἱέμεναι μαπέειν. ἐπὶ δὲ χλωροῦ ἀδάμαντος
Βαινουσέων ἰάχεσκε σάκος μεγάλῳ ὀρυμαγδῷ
Ὀξέα καὶ λιγέως· ἐπὶ δὲ ζώνῃσι δράκοντε
Δοιὼ ἀπῃωρεῦντ᾽, ἐπικυρτώοντε κάρηνα.
Λίχμαζον δ᾽ ἄρα τώ γε, μένει δ᾽ ἐχάρασσον ὀδόντας
Ἄγρια δερκομένω· ἐπὶ δὲ δεινοῖσι καρήνοις
Γοργείοις ἐδονεῖτο μέγας Φόβος· οἱ δ᾽ ὑπὲρ αὐτῶν
Ἄνδρες ἐμαρνάσθην, πολεμήϊα τεύχε᾽ ἔχοντες.
Τοὶ μὲν ἀπὸ σφετέρης πόλιος σφετέρων τε τοκήων
Λοιγὸν ἀμύνοντες· τοὶ δὲ πραθέειν μεμαῶτες.
Πολλοὶ μὲν κέατο, πλέονες δ᾽ ἔτι δῆριν ἔχοντες,
Μάρναντ᾽. αἱ δὲ γυναῖκες ἐϋδμήτων ἐπὶ πύργων

In eo autē & pulchricomæ Danaes filius eques Perseus,
Neque quidem contingens clypeum pedibus neque longe separatus ab illo:
Miraculum magnū dictu: quoniam nusquam nitebatur.
Ita enim ipsum manibus fecerat inclytus Vulcanus,
Aureum, circum pedes autem habebat alata talaria.
Ex humeris autem circa eum vagina inclusus nigra ensis pendebat,
AEreus de loro: ipse autem velut cogitatio volabat.
Totum autem tergum eius tenebat caput sævi monstri
Gorgonis. circū ipsum autē pera ferebatur, mirum visu,
Argentea, fimbriæque dependebant lucidæ
Aureæ. sæva autem circum tempora regis
Posita erat Orci galea, noctis caliginem gravem habens.
Ipse autem properanti & formidanti similis
Perseus Danaides extendebatur. post ipsum vero
Gorgones inaccessæ & ineffabiles ruebant,
Cupientes ipsum apprehendere. in viridi autē adamante
Euntibus ipsis resonabat clypeus magno strepitu
Acutum & tinnulum quippiam. in Zonis autē dracones
Duo suspensi erant, attollentes capita.
Lambebant autem illi, iraque infrendebant dentes.
Crudele tuentes. supra sæva autem capita
Gorgonum agitabatur magnus terror, ac supra ipsas
Viri pugnabant, bellica arma habentes.
Hi quidem a sua civitate, suisque parentibus,
Pestem depellentes: illi autem depopulari studentes.
Ac multi quidem iacebant, plures autem etiam pugnam tenentes,
Dimicabant. mulieres autē in bene constructis turribus

AEreum acutum clamabant, lacerabanturque genas,
Vivis similes, opera inclyti Vulcani.
Viri autē qui seniores erant, & senectutem assecuti erant,
Conferti extra portas ibant, sursumque diis
Manus tendebant beatis, pro suis liberis
Metuentes. illi autem contra pugnam conserebant, post ipsos autem
Parcæ nigræ candidis crepantes dentibus,
Torvæ terribilesque, cruentæque, inaccessæque (piebant
Certamen habebant de iis qui cadebant. omnes enim cu-
Cruorē nigrum bibere. & quem primum forte ceperant
Iacentem vel cadentem recens saucium, ei quidem
Iniiciebant ungues magnos, animaque ad Orcum abibat,
Tartarum in frigidum. illæ autem præcordia postquam exatiassent
Sanguine hominis, ipsum quidē abiiciebant post tergum:
Retro autē in tumultum & stragē festinabant iterū ire.
Clotho & Lachesis ipsis astabant, atque paulo minor
Atropos: neque enim erat magna dea: sed tamen
Aliis quidem præstantiorque erat, & ævo grandissima.
Omnes autem circa unum virum pugnam acerbam instituerant: (sentes.
Sævoque modo seipsas mutuo aspiciebant, oculis succen-
Inter se autem ungues manusque audaces exæquabant.
Iuxta autem & Caligo stabat, perustæ similis, & gravis,
Pallida, aridaque, fame exhausta, & compressa,
Crassis genibus: longiq; ungues a manibus prominebant.
Huius quidem ex naribus mucus manabat, ex genis autē
Cruor destillabat in terram. ipsa autem terribiliter dentes stringens

Stabat,

Χάλκεον ὀξὺ βόων, κατὰ δ' ἐδρύπτοντο παρειὰς,
Ζωῇσιν ἴκελαι, ἔργα κλυτοῦ Ἡφαίστοιο.
Ἄνδρες δ' οἳ πρεσβῆες ἔσαν, γῆράς τε μέμαρπτεν,
Ἀθρόοι ἔκτοσθεν πυλέων ἔσαν, ἂν δὲ θεοῖσι
Χεῖρας ἔχον μακάρεσσι, περὶ σφετέροισι τέκεσσι
Δειδιότες· τοὶ δ' αὖτε μάχην ἔχον, αἱ δὲ μετ' αὐτοὺς
Κῆρες κυάνεαι, λευκοὺς ἀραβεῦσαι ὀδόντας,
Δεινωποὶ, βλοσυροί τε, δαφοινοί τ', ἄπλητοί τε
Δῆριν ἔχον περὶ πιπτόντων. πᾶσαι δ' ἄρ' ἵεντο
Αἷμα μέλαν πιέειν· ὃν δὲ πρῶτον μεμάποιεν
Κείμενον ἢ πίπτοντα νεούτατον, ἀμφὶ μὲν αὐτῷ
Βάλλ' ὄνυχας μεγάλους. ψυχὴ δ' ἄϊδός δε κατεῖεν
Τάρταρον ἐς κρυόενθ'. αἱ δὲ φρένας εὖτ' ἀρέσαντο
Αἵματος ἀνδρομέου, τὸν μὲν ῥίπτασκον ὀπίσσω,
Ἂψ δ' ὅμαδον καὶ μῶλον ἐθύνεον αὖτις ἰοῦσαι.
Κλωθὼ καὶ Λάχεσίς σφιν ἐφέστασαν· ἡ μὲν ὑφήσσων,
Ἄτροπος, οὔτι πέλεν μεγάλη θεὸς, ἀλλὰ καὶ ἔμπης
Τῶν γε μὲν ἀλλάων προφερής τ' ἦν πρεσβυτάτη τε.
Πᾶσαι δ' ἀμφ' ἑνὶ φωτὶ μάχην δριμεῖαν ἔθεντο·
Δεινὰ δ' ἐς ἀλλήλας δράκον ὄμμασι θυμήνασαι,
Ἐν δ' ὄνυχας χεῖράς τε θρασείας ἰσώσαντο.
Πὰρ δ' Ἀχλὺς εἱστήκει ἐπισμυγερή τε καὶ αἰνὴ,
Χλωρὴ, ἀυσταλέη, λιμῷ καταπεπτηυῖα,
Γουνοπαχής· μακροὶ δ' ὄνυχες χείρεσσιν ὑπῆσαν.
Τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον, ἐκ δὲ παρειῶν
Αἷμ' ἀπελείβετ' ἔραζε. ἡ δ' ἄπλητον σεσαρυῖα

Εἱστήκει· πολλὴ δὲ κόνις καθενήνοθεν ὤμους,
Δάκρυσι μυδαλέη· παρὰ δ' εὔπυργος πόλις ἀνδρῶν.
Χρύσεαι δέ μιν εἶχον ὑπερθυρίοις ἀραρυῖαι
Ἑπτὰ πύλαι. τοὶ δ' ἄνδρες ἐν ἀγλαΐαις τε χοροῖς τε
Τέρψιν ἔχον. τοὶ μὲν γὰρ ἐϋσσώτρου ἐπ' ἀπήνης
Ἦγοντ' ἀνδρὶ γυναῖκα, πολὺς δ' ὑμέναιος ὀρώρει.
Τῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἰλύφαζε
Χερσὶν ἐνὶ δμώων. ταὶ δ' ἀγλαΐῃ τεθαλυῖαι
Πρόσθ' ἔκιον· τῇσιν δὲ χοροὶ παίζοντες ἕποντο.
Τοὶ μὲν ὑπαὶ λιγυρῶν συρίγγων ἵεσαν αὐδὴν
Ἐξ ἁπαλῶν στομάτων, περὶ δέ σφισιν ἄγνυτο ἠχώ.
Αἱ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα·
Ἔνθεν δ' αὖθ' ἑτέρωθε νέοι κώμαζον ὑπ' αὐλοῦ,
Τοίγε μὲν αὖ παίζοντες ὑπ' ὀρχηθμῷ καὶ ἀοιδῇ,
Τοίγε μὲν αὖ γελόωντες· ὑπ' αὐλητῆρι δ' ἕκαστος
Πρόσθ' ἔκιον· πᾶσαν δὲ πόλιν θαλίαι τε χοροί τε
Ἀγλαΐαι τ' εἶχον. τοὶ δ' αὖ προπάροιθε πόληος
Νῶθ' ἵππων ἐπιβάντες ἐθύνεον. οἱ δ' ἀροτῆρες
Ἤρεικον χθόνα δῖαν, ἐπιστολάδην δὲ χιτῶνας
Ἐστάλατ'. αὐτὰρ ἔην βαθὺ λήϊον· οἵγε μὲν ἤμων
Αἰχμῇς ὀξείῃσι κορωνιόωντα πέτηλα,
Βριθόμενα σταχύων, ὡσεὶ Δημήτερος ἀκτήν.
Οἱ δ' ἄρ' ἐν ἐλλεδανοῖσι δέον, καὶ ἔπιτνον ἀλωήν.
Οἱ δ' ἐτρύγων οἴνας, δρεπάνας ἐν χερσὶν ἔχοντες·
Οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν ὑπὸ τρυγητήρων
Λευκοὺς καὶ μέλανας βότρυας, μεγάλων ἀπὸ ὄρχων,
Βριθομένων φύλλοισι καὶ ἀργυρέης ἑλίκεσσιν.
Οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν. παρὰ δέ σφισιν ὄρχος

Stabat, multusq; pulvis constraverat ei humeros,
Lachrymis humida. iuxta autē turrita civitas hominū.
Aureæ autem ipsam tenebant superlimiaribus adaptatæ
Septem portæ: hominesque in voluptatibus & choreis
Oblectationē capiebant. Alij siquidē fabrefacto in curru
Ducebant viro uxorē, multusq; hymenæus excitabatur.
Et procul ab ardentibus facibus fulgor resplendebat,
In manibus famulorū. Mulieres autē venustate florentes
Præibant, quas chori ludentes sequebantur.
Atque hi quidem canoris tibiis emittebant cantum.
Et tenero ore, circumque ipsos repercutiebatur sonus.
Illæ autē ad modulationem ducebant chorum amabilem.
Inde rursū ex alia parte iuvenes comessabātur ad fistulā:
Alij quidem contra ludentes saltatione & cantu,
Alij autē contra ridentes. ante tibicinem autem singuli
Præcedebant, totamque civitatem lætitiæ choreæque
Voluptatesq; tenebant. Alij autē rursus extra civitatem
Tergis equorum conscensis currebant. aratores autem
Proscindebant terram bonam, ornateque tunicas
Succinctas habebant: sed erat profunda seges, ubi alij quidem metebant
Mucronibus acutis rostrata folia,
Gravida spicis, veluti Cereris cibum.
Alij autem in manipulos ligabant & implebant aream:
Rursum alij vindemiabant vineas, falces in manibus habentes.
Alij autem in calathis ferebant à vindemiatoribus acceptos
Albos & nigros racemos, magnis ex vitibus,
Gravidis foliis, & argenteis capreolis.
Alij rursus in calathis portabant, iuxtaque ipsos vitis

Aurea erat (inclyta opera prudentis Vulcani)
Agitata foliis, & argenteis perticis.
Inde quidem igitur ludunt ad tibicinem unusquisque.
Oneratus uvis, quæ ipsæ nigræ erant.
Alij quidem calcabant in lacu, alij hauriebant, alij autem dimicabant
Pugnis, & luctando: alij vero alipedes lepores venabãtur,
Viri venatores, & serratis dẽtibus canes duos ante ipsos,
Cupientes assequi, illi autem cupientes effugere.
Iuxta ipsos autẽ & equites habebãt laborẽ, proq; præmiis
Certamẽ habebant & pugnã. bene iunctis autẽ curribus
Aurigæ stantes, immittebant veloces equos,
Habenas laxantes. illi autem subsultãtes volabãt (bant.
Currus ferruminati, rotarũq; modioli valde ex eo resona-
Illi quidem igitur perpetuum habebant laborem, neque enim dum ipsis (tamen.
Victoria completa erat, sed inde finitum habebant cer-
Ipsis autẽ etiã propositus erat magnus tripus intra agonẽ,
Aureus, inclyta opera prudentis Vulcani.
Circa extremam autem oram manabat Oceanus, inundanti similis. (autem
Totum autem cõtinebat clypeum variegatum. per ipsum
Cygni altivolantes magnum clangebant, qui illic multi
Natabant in summa aqua. iuxta autẽ pisces movebãtur,
Mirum visu, etiam Iovi gravitonanti, cuius consiliis
Vulcanus fecit clypeum magnumque validumque,
Artificiose expoliens manibus: quem quidem Iovis fortis filius
Iactabat facile: equestrem autem assilijt in currum,
Similis fulguri patris Iovis, ægida tenentis,

Leviter

Χρύσεος ἦν, (κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο)
Σειόμενος φύλλοισι καὶ ἀργυρέοισι κάμαξι·
Τῷ γε μὲν οὖν παίζοντες ὑπ' αὐλητῆρι ἕκαστος
Βριθόμενος σαφυλῆσι· μελαίνθησάν γε μὲν αἵδε.
Οἵ γε μὲν ἐτράπεον, τοὶ δ' ἤρυον· οἱ δ' ἐμάχοντο
Πύξ τε καὶ ἑλκηδόν· τοὶ δ' ὠκύποδας λαγὸς ᾕρευν
Ἄνδρες θηρευταὶ, καὶ καρχαρόδοντε κύνε πρό,
Ἱέμενοι μαπέειν, οἱ δ' ἱέμενοι ὑπαλύξαι·
Πὰρ δ' αὐτοῖς ἱππῆες ἔχον πόνον, ἀμφὶ δ' ἀέθλοις.
Δῆριν ἔχον καὶ μόχθον. εὐπλεκέων δ' ἐπὶ δίφρων
Ἡνίοχοι βεβαῶτες ἐφίεσαν ὠκέας ἵππους,
Ῥυτὰ χαλαίνοντες. τὰ δ' ἐπικρατέοντα πέτοντο
Ἅρματα κολλήεντ', ἐπὶ δὲ πλῆμναι μέγ' ἀΰτευν.
Οἱ μὲν ἄρ' ἀΐδιον εἶχον πόνον οὐδέ ποτέ σφιν
Νίκη ἐπηνύσθη, ἀλλ' ἄκριτον εἶχον ἄεθλον.
Τοῖσι δὲ καὶ προὔκειτο μέγας τρίπος ἐντὸς ἀγῶνος,
Χρύσειος, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο.
Ἀμφὶ δ' ἴτυν ῥέεν Ὠκεανὸς πλήθοντι ἐοικώς·
Πᾶν δὲ συνεῖχε σάκος πολυδαίδαλον. οἱ δὲ κατ' αὐτὸν
Κύκνοι ἀερσιπόται μεγάλ' ἤπυον· οἵ ῥά γε πολλοὶ
Νῆχον ἐπ' ἄκρον ὕδωρ. πὰρ δ' ἰχθύες ἐκλονέοντο,
Θαῦμα ἰδεῖν καὶ Ζηνὶ βαρυκτύπῳ, οὗ διὰ βουλὰς
Ἥφαιστος ποίησε σάκος μέγα τε στιβαρόν τε,
Ἀρσάμενος παλάμῃσι, τὸ μὲν Διὸς ἄλκιμος υἱὸς
Πάλλεν ἐπικρατέως· ἐπὶ δ' ἱππείου θόρε δίφρου,
Εἴκελος ἀστεροπῇ πατρὸς Διὸς αἰγιόχοιο,

Κοῦφα βιβάς· τῷ δ' ἡνίοχος κρατερὸς Ἰόλαος
Δίφρου ἐπεμβεβαὼς ἰθύνετο καμπύλον ἅρμα.
Ἀγχίμολον δέ σφ' ἦλθε θεὰ γλαυκῶπις Ἀθήνη,
Καί σφεας θαρσύνουσ' ἔπεα πτερόεντα προσηύδα·
Χαίρετε Λυγγῆος γενεὴ τηλεκλειτοῖο,
Νῦν δὴ Ζεὺς κράτος ὔμμι δίδοι, μακάρεσσιν ἀνάσσων,
Κύκνον τ' ἐξεναρεῖν καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
Ἄλλο δέ σοι τι ἔπος ἐρέω μέγα φέρτατε λαῶν·
Εὖτ' ἂν δὴ Κύκνον γλυκερῆς αἰῶνος ἀμέρσης,
Τὸν μὲν ἔπειτ' αὐτοῦ λιπέειν καὶ τεύχεα τοῖο,
Αὐτὸς δὲ βροτολοιγὸν Ἄρην ἐπιόντα δοκεύσας,
Ἔνθα κε γυμνωθέντα σάκευς ὑπὸ δαιδαλέοιο
Ὀφθαλμοῖσιν ἴδῃς· ἔνθ' οὐτάμεν ὀξέϊ χαλκῷ·
Ἂψ δ' ἀναχάσσασθαι· ἐπεὶ οὔ νύ τοι αἴσιμόν ἐστιν
Οὔθ' ἵππους ἑλέειν, οὔτε κλυτὰ τεύχεα τοῖο.
Ὣς εἰποῦσ' ἐς δίφρον ἐβήσατο δῖα θεάων,
Νίκην ἀθανάτης χερσὶν καὶ κῦδος ἔχουσα,
Ἐσσυμένως. τότε δή ῥα διόγνητος Ἰόλαος
Σμερδαλέον θ' ἵπποισιν ἐκέκλετο· τοὶ δ' ὑπ' ὁμοκλῆς
Ῥίμφ' ἔφερον θοὸν ἅρμα, κονίοντες πεδίοιο.
Ἐν γάρ σφιν μένος ἧκε θεὰ γλαυκῶπις Ἀθήνη,
Αἰγίδ' ἀνασείσασα· περιστονάχιζε δὲ γαῖα.
Τοὶ δ' ἄμυδις προγένοντ' ἴκελοι πυρὶ ἠὲ θυέλλῃ,
Κύκνος θ' ἱππόδαμος καὶ Ἄρης ἀκόρητος αὐτῆς.
Τῶν θ' ἵπποι μὲν ἔπειθ' ὑπεναντίοι ἀλλήλοισιν
Ὀξεῖα χρέμισαν, περὶ δέ σφισιν ἄγνυτ' ἠχώ.
Τὸν πρότερον προσέειπε βίη Ἡρακληείη·
Κύκνε πέπον, τί νυ νῶϊν ἐπίσχετον ὠκέας ἵππους,

Ἀνδρει-

Leviter ingrediens. huic autem auriga fortis Iolaus,
Bigis insistens regebat curvum currum.
Prope autem ipsis advenit dea cæsiis oculis Minerva,
Atq; ipsos confirmans verbis volucribus alloquebatur:
Salvete Lyncei progenies longe inclyti,
Nunc itaq; Iupiter robur vobis dat, is qui beatis imperat,
Cygnumq; interficere, & inclyta arma eius despoliare.
Sed tibi aliud verbum dicam, multo præstantissime populorum:
Postquam iam Cygnum dulci ævo spoliaveris,
Illum quidem tum eodem loco relinque, & arma ipsius:
Ipse autē hominū pestem Martem accedentem observās,
Vbi nudatum clypeo variegato
Oculis videris, ibi vulnera acuto ferro,
Retroque te recipe, quoniam tibi fas non est
Neque equos capere, neque inclyta arma illius.
Sic locuta, in currum ascendit diva dearum,
Victoriam immortalibus manibus & gloriam tenens
Certatim. Tunc igitur Iovi notus Iolaus
Horrendum equos increpuit. illi autem a comminatione
Leviter ferebant celerem currum, pulverem cientes per campum:
Nam ipsis animum addiderat dea cæsiis oculis Minerva,
Aegide concussa. ingemiscebat autem circumquaq; tellus.
Illi autem pariter procedebant, similes igni sive procellæ,
Cygnus equûm domitor, & Mars insatiabilis bello.
Horum equi deinde obviam sibi mutuo facti,
Acutum hinnivere, circaq; ipsos reverberabatur sonus.
Atque hunc prior alloquebatur vis Herculea:
Cygne ignave, cur contra nos tenetis veloces equos,

Viros, qui laboris & ærumnæ experti sumus?
In diversum tene currum bene politum, atque e via
Cede prætergrediendo. Trachinem enim tendo
Ad Ceycem regem. nã ille potestate pariter & maiestate
Trachini antistat. Tu vero satis hoc scis etiam ipse.
Eius enim connubio tenes filiam Themistonoẽ nigroculã.
O ignave, non enim tibi neque Mars mortis exitium
Prohibuerit, si nos inter nos congrediamur bellando.
Iam ipsum quidẽ aio ante quoq; aliquoties periculũ fecisse
Hastæ nostræ, quando pro Pylo arenoso
Adversus stetit mihi pugnam insatiabiliter optans.
Ter siquidem mea hasta percussus sustinuit se terra,
Vulneratus clypeo: quarto autem transadegi femur eius,
Totis animis festinans, magnumque illius clypeum perforavi. *(stæ impetu.*
Pronus autem in pulveribus humi prostratus cecidit ha-
Vbi etiam ignominia affectus inter immortales fuit,
Manibus sub nostris relictis spoliis cruentis.
Sic dixit: at Cygnus bellicosus haudquaquam curabat,
Huic obtemperans, retinere trahentes currum equos.
Ac tunc a bene compactis bigis desilierunt celeriter in terram,
Et Iovis filius magni, & Enyalij regis.
Aurigæ autem propius egerunt pulchricomos equos.
Illis autem irruentibus sonitu pedum concitata est lata
Vt autem ab alto vertice montis magni *(terra.*
Rupes desiliunt, aliæ super alias cadentes:
Multæque quercus, multæ item piceæ
Alnique totis radicibus refringuntur ab ipsis
Celeriter delabentibus, donec in campum perveniant:

Ita

Ἀνδράσιν, οἵ τε πόνου καὶ οἰζύος ἴδριες εἰμὲν;
Ἀλλὰ πάρεξ ἔχε δίφρον ἐΰξοον, ἠδὲ κελεύθου
Εἶκε πάρεξ ἰέναι. Τρηχῖνα δέ τοι παρελαύνω
Ἐς Κήϋκα ἄνακτα. ὁ γὰρ δυνάμει τε καὶ αἰδοῖ
Τρηχῖνος προβέβηκε. σὺ δ' εὖ μάλα οἶσθα καὶ αὐτός.
Τοῦ γὰρ ὀπυίεις παῖδα Θεμιστονόην κυανῶπιν.
Ὦ πέπον, οὐ μὲν γάρ τοι Ἄρης θανάτοιο τελευτὴν
Ἀρκέσει, εἰ δὴ νῶϊ συνοισόμεθα πτολεμίζειν.
Ἤδη μέν τέ ἑ φημὶ καὶ ἄλλοτε πειρηθῆναι
Ἔγχεος ἡμετέρου, ὅθ' ὑπὲρ Πύλου ἠμαθόεντος
Ἀντίος ἔστη ἐμεῖο, μάχης ἄμοτον μενεαίνων.
Τρὶς μὲν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἠρείσατο γαίῃ,
Οὐταμένου σάκεος· τὸ δὲ τέτρατον, ἤλασα μηρὸν,
Παντὶ μένει σπεύδων, διὰ δὲ μέγα σάρκος ἄραξα·
Πρηνὴς δ' ἐν κονίῃσι χαμαὶ πέσεν ἔγχεος ὁρμῇ.
Ἔνθά κε δὴ λωβητὸς ἐν ἀθανάτοισιν ἐτύχθη,
Χερσὶν ὑφ' ἡμετέρῃσι λιπὼν ἔναρα βροτόεντα.
Ὣς ἔφατ'· οὐδ' ἄρα Κύκνος ἐϋμμελίης ἐμενοίνα
Τῷ ἐπιπειθόμενος ἐχέμεν ἐρυσάρματας ἵππους.
Δὴ τότ' ἀπ' εὐπλεκέων δίφρων θόρον αἶψ' ἐπὶ γαῖαν
Παῖς τε Διὸς μεγάλου, καὶ Ἐνυαλίοιο ἄνακτος.
Ἡνίοχοι δ' ἔμπλην ἔλασαν καλλίτριχας ἵππους·
Τῶν δ' ὑποσσευομένων κανάχιζε πόσ' εὐρεῖα χθών.
Ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
Πέτραι ἀποθρώσκωσιν, ἐπ' ἀλλήλαις δὲ πέσωσι,
Πολλαὶ δὲ δρῦς ὑψίκομοι, πολλαὶ δέ τε πεῦκαι,
Αἴγειροί τε τανύρριζοι ῥήγνυνται ὑπ' αὐτῶν
Ῥίμφα κυλινδομένων, εἵως πεδίον δ' ἀφίκωνται·

Ὣς οἱ ἐπ' ἀλλήλοισι πέσον μέγα κεκλήγοντες.
Πᾶσα δὲ Μυρμιδόνων τε πόλις κλειτή τ' Ἰαωλκὸς
Ἄρνη τ' ἠδ' Ἑλίκη, Ἄνθειά τε ποιήεσσα,
Φωνῇ ὑπ' ἀμφοτέρων μεγάλ' ἴαχον. οἱ δ' ἀλαλητῷ
Θεσπεσίῳ σύνισαν. μέγα δ' ἔκτυπε μητίετα Ζεύς,
Κὰδ δ' ἄρ' ἀπ' οὐρανόθεν ψιάδας βάλεν αἱματοέσσας,
Σῆμα τιθεὶς πολέμοιο ἑῷ μεγαθαρσέϊ παιδί.
Οἷος δ' ἐν βήσσῃς ὄρεος χαλεπὸς προϊδέσθαι
Κάπρος χαυλιόδων φρονέει θυμῷ μαχέσασθαι
Ἀνδράσι θηρευτῆς, θήγει δέ τε λευκὸν ὀδόντα
Δοχμωθείς, ἀφρὸς δὲ περὶ στόμα μαστιχόωντι
Λείβεται, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην,
Ὀρθὰς δ' ἐν λοφιῇ φρίσσει τρίχας ἀμφί τε δειρήν.
Τῷ ἴκελος Διὸς υἱὸς ἀφ' ἱππείου θόρε δίφρου,
Ἦμος δὲ χλοερῷ κυανόπτερος ἠχέτα τέττιξ
Ὄζῳ ἐφεζόμενος θέρος ἀνθρώποισιν ἀείδειν
Ἄρχεται, ᾧ τε πόσις καὶ βρῶσις θῆλυς ἐέρση.
Καί τε πανημέριός τε καὶ ἠῷος χέει αὐδὴν
Ἴδει ἐν αἰνοτάτῳ, ὁπότε χρόα Σείριος ἄζει.
Τῆμος δὴ κέγχροισι περὶ γλῶχες τελέθουσι
Τοὺς τε θέρει σπείρουσιν, ὅτ' ὄμφακες αἰόλλονται,
Οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος.
Τὴν ὥρην μάρναντο, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
Ὡς δὲ λέοντε δύω ἀμφὶ κταμένης ἐλάφοιο
Ἀλλήλοις κοτέοντε, ἐπὶ σφέας ὁρμήσωσι,
Δεινὴ δέ σφ' ἰαχὴ ἄραβός θ' ἅμα γίνετ' ὀδόντων.
Οἱ δ' ὥς τ' αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι,
Πέτρῃ ἐφ' ὑψηλῇ μεγάλα κλάζοντε μαχέσθην
Αἰγὸς ὀρεσσινόμου ἢ ἀγροτέρης ἐλάφοιο

Πίονος,

Ita & illi in se mutuo ruebant cum magno clangore:
Tota autem Myrmidonum civitas celebrisque Iaolcus,
Arneque, & Helice, & Anthea herbosa,
Præ voce utriusque valde resonabant. Illi autem cum clamore
Mirando congressi sunt. magnum autem intonuit prudens Iupiter,
Et à cælo guttas dimisit sanguinolentas,
Signum id ponens bello, suo multum confidenti filio.
Qualis autem in vallibus montis acerbus aspectu
Aper, dentes habens exertos, fertur impetu ad pugnandũ
Cum viris venatoribus, acuitque candidum dentem
Per obliquum actus, spuma autem circa os mandenti
Destillat, oculique ipsi igni splendenti similes sunt,
Rectis autem in vertice horret setis, circaque collum:
Talis similis Iovis filius ab equestri desiliit curru.
Quando autem viridi nigricans alis sonora cicada
Ramo insidens, æstatem hominibus canere
Incipit, cuius & potus & cibus mollis ros est,
Atq; per totum diem, & mane s[illegible] [illegible] rorã fundit vocem
AEstu in gravissimo, quando corpus Sirius exsiccat.
Quando item & milio circum aristæ nascuntur,
Quod æstate seminant, cũ uvæ acerbæ colorem mutant,
Qualia Bacchus dedit hominibus in lætitiam & laborẽ;
Eo tempore pugnabant, multus autem tumultus excitabatur.
Vt autem leones duo, pro occisa cerva
Sibi mutuo irati, in seipsos impetum faciunt,
Sævusq; inter ipsos rugitus, strepitusq; exoritur dẽtium.
Atque ut vultures incurvis unguibus repandirostri
Rupe in excelsa, magno clangore dimicant,
Capræ montivagæ gratia, aut feræ ceruæ

Pinguis, quam interfecit iaculando iuvenis vir,
Sagitta e nervo emissa: ipse autem vagatur alio loco
Loci ignarus existens. at illi celeriter animadverterunt,
Certatimque pro ea pugnam acerbam instituerunt.
Sic & hi duo cum clamore contra se mutuo irruerunt.
Ibi sane Cygnus quidem potentis Iovis filium
Occidere meditans, clypeo æream hastam adegit,
Neque tamen perrupit æs: defendebant enim dona Dei.
Contra autem Amphitryoniades, vis Herculea,
Inter galeam & clypeum, hasta longa,
Cervicem nudatum, celeriter, infra mentum,
Percussit valde, ambosq; detondit tendones
Homicida lancea. magnum enim robur inciderat viri.
Cecidit autem veluti cum quercus aliqua, aut cum rupes
Excelsa, icta Iovis fumanti fulmine:
Sic cecidit. circum ipsum autem resonabant arma variegata ære.
Atq; hunc quidem ibi reliquit Iovis ærumnosus filius.
Ipse autem occisorem hominum Martem accedentem observans,
Sævum videns oculis, ut leo corpus forte nactus,
Qui admodum accurate pelle validis unguibus
Dissecta, quam celerrime dulcem animum abstulit:
Alacriter autem huius nigrum expletur cor,
Ac cæsiis intuens oculis sævum quiddam, costasque & humeros
Cauda flagellans, pedibus fodit; neque quisquam ipsum
Sustinet ex adversa aspiciens prope ire, neq; pugnare.
Talis igitur & Amphitryoniades insatiabilis bello
Contra Martem stetit, in præcordiis audaciam augens

Certa-

Πίονος, ἥν τ' ἐδάμασσε βαλὼν αἰζήϊος ἀνὴρ
Ἰῷ ἀπὸ νευρῆς, αὐτὸς δ' ἀπαλήσεται ἄλλη
Χώρου ἄϊδρις ἐών· οἱ δ' ὀτραλέως ἐνόησαν,
Ἐσσυμένως δέ οἱ ἀμφὶ μάχην δριμεῖαν ἔθεντο·
Ὣς οἱ κεκληγόντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Ἔνθ' ἤτοι Κύκνος μὲν ὑπερμενέος Διὸς υἱὸν
Κτεινέμεναι μεμαώς, σάκει ἔμβαλε χάλκεον ἔγχος·
Οὐδ' ἔρρηξεν χαλκόν· ἔρυτο δὲ δῶρα θεοῖο.
Ἀμφιτρυωνιάδης δὲ βίη Ἡρακληείη,
Μεσσηγὺς κόρυθός τε καὶ ἀσπίδος ἔγχεϊ μακρῷ
Αὐχένα γυμνωθέντα θοῶς ὑπένερθε γενείου
Ἤλασ' ἐπικρατέως· ἀπὸ δ' ἄμφω κέρσε τένοντε
Ἀνδροφόνος μελίη. μέγα γὰρ σθένος ἔμπεσε φωτός.
Ἤριπε δ', ὡς ὅτε τίς δρῦς ἤριπεν, ἢ ὅτε πέτρη
Ἠλίβατος, πληγεῖσα Διὸς ψολόεντι κεραυνῷ·
Ὣς ἔριπ'. ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τὸν μὲν ἔπειτ' εἴασε Διὸς ταλακάρδιος υἱός,
Αὐτὸς δὲ βροτολοιγὸν Ἄρην ἐπιόντα δοκεύσας,
Δεινὸν ὁρῶν ὄσσοισι, λέων ὣς σώματι κύρσας,
Ὅς τε μάλ' ἐνδυκέως ῥινὸν κρατεροῖς ὀνύχεσσι
Σχίσσας ὅττι τάχιστα, μελίφρονα θυμὸν ἀπηύρα·
Ἐμμενέως δ' ἄρα τοῦ γε κελαινὸν πίμπλαται ἦτορ·
Γλαυκιόων δ' ὄσσοις δεινόν, πλευράς τε καὶ ὤμους
Οὐρῇ μαστιόων, ποσσὶ γλάφει· οὐδέ τις αὐτόν
Ἔτλη ἐς ἄντα ἰδὼν σχεδὸν ἐλθεῖν, οὐδὲ μάχεσθαι.
Τοῖος ἄρ' Ἀμφιτρυωνιάδης ἀκόρητος ἀϋτῆς
Ἀντίος ἔστη Ἄρηος, ἐνὶ φρεσὶ θάρσος ἀέξων,

Ἑσσυμένως. ὁ δέ οἱ σχεδὸν ἤλυθεν ἀχνύμενος κῆρ.
Ἀμφότεροι δ' ἰάχοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Ὡς δ' ὅτ' ἀπὸ μεγάλου πέτρη πρηῶνος ὀροῦσα,
Μακρὰ δ' ἐπιθρώσκουσα κυλίνδεται, ἡ δέ τε ἠχῇ
Ἔρχεται ἐμμεμαυῖα, πάγος δέ οἱ ἀντεβόλησεν
Ὑψηλὸς, τῷ δὴ συνενείκεται, ἔνθα μιν ἴσχει·
Τόσση ὁ μὲν ἰαχῇ βρισάρματος οὔλιος Ἄρης
Κεκληγὼς ἐπόρουσεν· ὁ δ' ἐμμαπέως ὑπέδεκτο.
Αὐτὰρ Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο
Ἀντίη ἦλθεν Ἄρηος, ἐρεμνὴν αἰγίδ' ἔχουσα.
Δεινὰ δ' ὑπόδρα ἰδοῦσ' ἔπεα πτερόεντα προσηύδα.
Ἄρες ἐπίσχε μένος κρατερὸν καὶ χεῖρας ἀάπτους.
Οὐ γάρ τοι θέμις ἐστὶν ἀπὸ κλυτὰ τεύχεα δῦσαι
Ἡρακλέα κτείναντα Διὸς θρασυκάρδιον υἱόν.
Ἀλλ' ἄγε παῦε μάχης, μηδ' ἀντίος ἵστασ' ἐμεῖο.
Ὣς ἔφατ'· ἀλλ' οὐ πεῖθ' Ἄρεως μεγαλήτορα θυμόν.
Ἀλλὰ μέγα ἰάχων, φλογὶ εἴκελα τεύχεα πάλλων,
Καρπαλίμως ἐπόρουσε βίῃ Ἡρακληείῃ,
Κακτάμεναι μεμαώς· καὶ ῥ' ἔμβαλε χάλκεον ἔγχος
Σπερχνὸν, ἑοῦ παιδὸς κοτέων πέρι τεθνειῶτος,
Ἐν σάκει μεγάλῳ. ἀπὸ δὲ γλαυκῶπις Ἀθήνη
Ἔγχεος ὁρμὴν ἔτραπ', ὀρεξαμένη ἀπὸ δίφρου.
Δριμὺ δ' Ἄρην ἄχος εἷλεν· ἐρυσσάμενος δ' ἄορ ὀξὺ,
Ἔσσυτ' ἐφ' Ἡρακλῆϊ κρατερόφρονι. τὸν δ' ἐπιόντα
Ἀμφιτρυωνιάδης δεινῆς ἀκόρητος ἀϋτῆς,
Μηρὸν γυμνωθέντα σάκευς ὑπὸ δαιδαλέοιο,
Οὔτασ' ἐπικρατέως· διὰ δὲ μέγα σάκος ἄραξεν,
Δουρὶ νωμήσας, ἐπὶ δὲ χθονὶ κάββαλε μέσσῃ.
Τῷ δὲ Φόβος καὶ Δεῖμος εὔτροχον ἅρμα καὶ ἵππους

Ἤλασαν

Certatim. Ille autem prope venit afflicto corde.
Vtrique autem cum clamore alter alterum invaserunt.
Vt autem, quando a magno rupes cacumine præcipitans,
Et in longum delata saltu volvitur, fragorque
Venit subito ingens, collis autem ipsi obvius fit
Altus, ad quem cursu defertur, ubi ipsam retinet:
Tanto ille fremitu, curruum gravator, perniciosus Mars
Vociferans irruit, ille autem prompte venientē excepit.
Porro Minerva filia Iovis ægida tenentis
Obviam venit Marti, tenebrosam habens ægidem.
Sæva autē torve intuens, verbis volucribus allocuta est:
Mars inhibe animos ingentes & manus invictas.
Neque enim tibi fas est inclyta arma auferre,
Hercule occiso, Iovis magnanimo filio.
Sed age, desiste a pugna, neque adversus steteris mihi.
Sic ait: sed non persuasit Martis magnanimi animos
Sed magno fremitu, flammæ similia arma vibrans,
Celeriter invasit vim Herculeam,
Occidere festinans. & coniecit æratam hastam
Acriter, ob suum filium irascens mortuum,
In clypeum magnum. At procul cæsia Minerva,
Hastæ impetum avertit, manu deflectens a curru.
Acerbus autem dolor Martem cepit, extractoque gladio acuto
Irruit contra Herculem magnanimum. at illum accedentem
Amphitryoniades, sævo insatiabilis bello,
Femore nudatum clypeo sub variegato
Vulneravit valide, magnumque traiecit clypeum,
Hasta vibrans. in terra autē prostravit media Martem.
At illi Pavor & Metus agilem currum & equos

Adegerunt celeriter propius, & a terra habẽte latas vias
In currum posuerunt variegatum : atque inde celeriter
Equos flagellis impulerunt, veneruntq; in altũ Olympũ.
Filius autem Alcmenæ & gloriosus Iolaus,
Cygno despoliato, armis ab humeris pulchris detractis,
Revertebantur. moxque exinde ad civitatem Trachiniam venerunt,
Equis velocibus. At cæsiis oculis Minerva
Pervenit in Olympum magnum, & domus patris.
Cygnum autẽ cõtra Ceyx sepelivit, & populus infinitus,
Qui prope civitatem habitant inclyti regis,
Anten, Myrmidonumq; civitatem, celebremq; Iolcum,
Arneq; & Helicen. multus autẽ cõgregabatur populus,
Honorantes Ceycem, charum beatis diis.
Sed illius sepulchrum & monumentum obscurum reddidit Anaurus,
Imbre hyemali exundans. ita enim ipsum Apollo
Latonæ filius iussit, propterea quod inclytas hecatombas
Quicunq; portaret Delphos, eum vi spoliabat insidiatus.

F I N I S.

Ἤλασαν αἶψ' ἔγγυς, καὶ ἀπὸ χθονὸς εὐρυοδείης
Ἐς δίφρον θῆκαν πολυδαίδαλον· αἶψα δ' ἔπειτα
Ἵππους μαστίετην, ἵκοντο δὲ μακρὸν Ὄλυμπον.
Υἱὸς δ' Ἀλκμήνης καὶ κυδάλιμος Ἰόλαος,
Κύκνον σκυλεύσαντες ἀπ' ὤμων τεύχεα καλὰ
Νίσοντ'· αἶψα δ' ἔπειτα πόλιν Τρηχῖνος ἵκοντο
Ἵπποις ὠκυπόδεσσιν. ἀτὰρ γλαυκῶπις Ἀθήνη
Ἐξίκετ' Οὔλυμπόν τε μέγαν καὶ δώματα πατρός.
Κύκνον δ' αὖ κῆυξ θάπτεν, καὶ λαὸς ἀπείρων,
Οἵ ῥ' ἐγγὺς ναῖον πόλιος κλειτοῦ βασιλῆος,
Ἄντην, Μυρμιδόνων τε πόλιν, κλειτήν τ' Ἰαωλκὸν,
Ἄρνην τ' ἠδ' Ἑλίκην· πολλὸς δ' ἠγείρετο λαὸς,
Τιμῶντες Κήυκα, φίλον μακάρεσσι θεοῖσι.
Τοῦ δὲ τάφον καὶ σῆμ' ἀϊδὲς ποίησεν Ἄναυρος,
Ὄμβρῳ χειμερίῳ πλήθων. τὼς γάρ μιν Ἀπόλλων
Λητοΐδης ἤνωξ', ὅτι ῥα κλειτὰς ἑκατόμβας
Ὅς τις ἄγοι Πυθοῖδε βίῃ, σύλασκε δοκεύων.

ΤΕ΄ΛΟΣ.

ΗΣΙΟΔΟΥ ΤΟΥ ΑΣΚΡΑΙΟΥ
ΘΕΟΓΟΝΙΑ.

HESIODI ASCRÆI
DEORVM
GENERATIO.

HESIODI ASCRÆI

Deorum Generatio.

A Musis Heliconiadibus incipiamus canere,
Quæ Heliconis habitant montem, magnumque divinumque:
Et circa fontem nigrum pedibus teneris
Saltant, aramque præpotentis Saturnij,
Atque ablutæ tenero corpore in Permesso,
Aut in Hippocrene, aut in Olmio sacro,
Summo in Helicone choreas duxerunt,
Pulchras, amabiles, fortiterq; tripudiarunt pedibus.
Inde concitatæ, velatæ aere multo
Noctu incedebant, perpulchram vocem emittentes,
Celebrantes Iovemq; ægida tenentem, & venerandam
Argivam, aureis calceamentis incedentem: (Iunonem
Filiamque Ægiochi Iovis, cæruleos oculos habentem
Minervam:
Augeremq; Apollinem, & Dianam sagittis gaudentem,
Atque Neptunum terram continentem, terræ motorem,
Et Themin venerandam, & nigris oculis Venerem,
Hebemque aurea corona decoram, formosamq; Dionem,
Auroramq; Solemq; magnum, splendidamque Lunam,
Latonamque, Iapetumque, ac Saturnum versipellem,
Terramque, Oceanumque vastum, & Noctem atram,
Aliorumq; immortalium sacrũ genus semper existẽtium:
Quæ olim Hesiodum pulchrum docuerunt carmen,
Agnos pascentem Helicone sub divino.

Hoc

ΗΣΙΟΔΟΥ ΤΟΥ ΑΣΚΡΑΙΟΥ

Θεογονία.

Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
Αἵθ' Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε.
Καί τε περὶ κρήνην ἰοειδέα πόσσ' ἁπαλοῖσιν
Ὀρχεῦνται, καὶ βωμὸν ἐρισθενέος Κρονίωνος.
Καί τε λοεσσάμεναι τέρενα χρόα Περμησσοῖο,
Ἢ ἵππου κρήνης, ἢ Ὀλμειοῦ ζαθέοιο,
Ἀκροτάτῳ Ἑλικῶνι χοροὺς ἐνεποιήσαντο
Καλοὺς, ἱμερόεντας· ἐπερρώσαντο δὲ ποσσίν.
Ἔνθεν ἀπορνύμεναι, κεκαλυμμέναι ἠέρι πολλῇ,
Ἐννύχιαι στεῖχον περικαλλέα ὄσσαν ἱεῖσαι,
Ὑμνεῦσαι Δία τ' αἰγίοχον, καὶ πότνιαν Ἥρην
Ἀργείην, χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν,
Κούρην τ' Αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην,
Φοῖβόν τ' Ἀπόλλωνα, καὶ Ἄρτεμιν ἰοχέαιραν,
Ἠδὲ Ποσειδάωνα γαιήοχον, ἐννοσίγαιον,
Καὶ Θέμιν αἰδοίην, ἑλικοβλέφαρόν τ' Ἀφροδίτην,
Ἥβην τε χρυσοστέφανον, καλήν τε Διώνην,
Ἠῶ τ', Ἠέλιόν τε μέγαν, λαμπράν τε Σελήνην,
Λητώ τ' Ἰάπετόν τε, ἰδὲ Κρόνον ἀγκυλομήτην,
Γαῖάν τ' Ὠκεανόν τε μέγαν, καὶ νύκτα μέλαιναν·
Ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.
Αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδὴν,
Ἄρνας ποιμαίνονθ' Ἑλικῶνος ὑπὸ ζαθέοιο.

Τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπαν,
Μοῦσαι Ὀλυμπιάδες κοῦραι Διὸς αἰγιόχοιο·
Ποιμένες ἄγραυλοι, κάκ' ἐλέγχεα γαστέρες οἶον,
Ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα,
Ἴδμεν δ' εὖτ' ἐθέλωμεν ἀληθέα μυθήσασθαι.
Ὣς ἔφασαν κοῦραι μεγάλου Διὸς ἀρτιέπειαι·
Καί μοι σκῆπτρον ἔδον, δάφνης ἐριθηλέος ὄζον,
Δρέψασθαι θηητόν. ἐνέπνευσαν δέ μοι αὐδὴν
Θείην, ὥς τι κλύοιμι τά τ' ἐσσόμενα, πρό τ' ἐόντα.
Καί με κέλονθ' ὑμνεῖν μακάρων γένος, αἰὲν ἐόντων,
Σφᾶς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστερον αἰὲν ἀείδειν.
Ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;
Τύνη Μουσάων ἀρχώμεθα, ταὶ Διὶ πατρὶ
Ὑμνεῦσαι τέρπουσι μέγαν νόον ἐντὸς Ὀλύμπου,
Εἰρεῦσαι, τά τ' ἐόντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα,
Φωνῇ ὁμηρεῦσαι· τῶν δ' ἀκάματος ῥέει αὐδὴ
Ἐκ στομάτων ἡδεῖα. γελᾷ δέ τε δώματα πατρὸς
Ζηνὸς ἐριγδούποιο θεᾶν ὀπὶ λειριοέσσῃ
Σκιδναμένῃ· ἠχεῖ δὲ κάρη νιφόεντος Ὀλύμπου,
Δώματα ἀθανάτων. αἱ δ' ἄμβροτον ὄσσαν ἰεῖσαι,
Θεῶν γένος αἰδοῖον πρῶτον κλείουσιν ἀοιδῇ.
Ἐξ ἀρχῆς, οὓς Γαῖα καὶ Οὐρανὸς εὐρὺς ἔτικτεν,
Οἵ τ' ἐκ τῶν ἐγένοντο θεοί, δωτῆρες ἐάων.
Δεύτερον αὖτε Ζῆνα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
Ἀρχόμεναί θ' ὑμνεῦσι θεαὶ, λήγουσαί τ' ἀοιδῆς,
Ὅσσον φέρτατός ἐστι θεῶν, κράτεΐ τε μέγιστος.
Αὖθις δ' ἀνθρώπων τε γένος κρατερῶν τε γιγάντων
Ὑμνεῦσαι, τέρπουσι Διὸς νόον ἐντὸς Ὀλύμπου,
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο·
Τὰς ἐν Πιερίῃ Κρονίδῃ τέκε πατρὶ μιγεῖσα

Μνημι-

Hoc autem me primum deæ sermone compellarunt,
Musæ Olympiades filiæ Iovis AEgiochi
Pastores in agris pernoctantes, mala probra, ventres solum,
Scimus mendacia multa dicere veris similia:
Scimus etiam, quando voluerimus, vera loqui.
Sic dixerunt filiæ Iovis magni veridicæ,
Et mihi sceptrum dederunt, lauri perviridis ramum,
Decerpere mirandum. inspirarunt autem mihi vocem
Divinam, ita ut scirem tam futura quam præterita:
Et me iubebant celebrare beatorũ genus sempiternorum,
Se vero primo & postremo semper decantare.
Sed quo mihi hæc circa quercum, aut circa petram?
O tu, a Musis ordiamur, quæ Iovi patri
Canendo oblectant magnum animum in Olympo,
Memorantes, & præsentia, & futura, & præterita,
Vocem inter se aptantes. illarum vero indefessa fluit vox
Ab ore suavis. rident autem domus patris
Iovis valde tonantis, dearum voce a suavi
Dispersæ. resonat vero vertex nivosi Olympi,
Domus immortalium. hæ vero immortalem vocẽ emittentes,
Deorũ genus venerandum in primis celebrãt cantilena,
Ab exordio, quos Tellus & Cœlum latum genuerunt,
Quique ex his prognati sunt dij, datores bonorum.
Secundo rursum Iovem, deorũ patrẽ atq; etiam hominũ,
Incipientesque canunt deæ, & finientes carmen,
Quam sit præstantissimus deorũ, & imperio maximus.
Porro & hominum genus, fortiumque gigantum
Celebrantes, oblectant Iovis mentem in Olympo,
Musæ Olympiades, filiæ Iovis ægida habentis:
Quas in Pieria Saturnio peperit patri mixta

Mnemosyne, fertilitati Eleutheris imperans:
Oblivionemque malorum, & solatium curarum.
Novem enim ei noctes mixtus est prudens Iupiter,
Seorsim ab immortalibus, sacrum lectum conscendens.
Sed cum iam annus exactus, circumvoluta vero essent tempora
Mensium decrescentium, diesq; multi transacti essent,
Ipsa peperit novem filias concordes, quibus carmen
Curæ est, in pectoribus securum animum habentibus,
Paululum a summo vertice nivosi cæli:
Vbi ipsis splendidique chori, & ædes pulchræ.
Iuxta vero eas Gratiæ & Cupido domos habitant,
In conviviis: amabilem autem per os vocem emittentes
Canunt omniumque leges, & mores venerandos
Immortalium celebrant, amabilem autem per os vocem emittentes.
Istæ tum ibant ad Olympum exultantes voce pulchra
Immortali cantilena, undiq; vero resonabat terra atra
Canentibus hymnos: iucundus vero a pedibus strepitus excitabatur
Euntium ad patrem suum. ille autem in cælo regnat,
Ipse habens tonitru, atque ardens fulmen,
Vi superato patre Saturno: bene autem singula
Immortalibus disposuit simul, & induxit honores.
Hæc sane Musæ canebant, cælestes domos tenentes:
Novem filiæ magno e Iove prognatæ:
Clioque, Euterpeque, Thaliaque, Melpomeneque,
Terpsichoreque, Eratoque, Polymniaque, Vraniaque,
Calliopeque: hæc autem præstantissima est omnium.
Hæc enim & reges venerandos comitatur.

Quem-

Μνημοσύνη, γουνοῖσιν Ἐλευθῆρος μεδέουσα,
Λησμοσύνην τε κακῶν, ἄμπαυμά τε μερμηράων.
Ἐννέα γάρ οἱ νύκτας ἐμίσγετο μητίετα Ζεὺς,
Νόσφιν ἀπ' ἀθανάτων, ἱερὸν λέχος εἰσαναβαίνων·
Ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι
Μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
Ἡ δ' ἔτεκ' ἐννέα κούρας ὁμόφρονας, ᾗσιν ἀοιδὴ
Μέμβλεται, ἐν στήθεσσιν ἀκηδέα θυμὸν ἐχούσαις,
Τυτθὸν ἀπ' ἀκροτάτης κορυφῆς νιφόεντος Ὀλύμπου,
Ἔνθά σφιν λιπαροί τε χοροὶ καὶ δώματα καλά.
Πὰρ δ' αὐτῆς Χάριτες, καὶ Ἵμερος οἰκί' ἔχουσιν
Ἐν θαλίης· ἐρατὴν δὲ διὰ στόμα ὄσσαν ἱεῖσαι,
Μέλπονται πάντων τε νόμους, καὶ ἤθεα κεδνὰ
Ἀθανάτων κλείουσιν, ἐπήρατον ὄσσαν ἱεῖσαι.
Αἳ τότ' ἴσαν πρὸς Ὄλυμπον ἀγαλλόμεναι ὀπὶ καλῇ,
Ἀμβροσίῃ μολπῇ· περὶ δ' ἴαχε γαῖα μέλαινα
Ὑμνεύσαις, ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει,
Νεισσομένων πατέρ' εἰς ὅν. ὁ δ' οὐρανῷ ἐμβασιλεύει,
Αὐτὸς ἔχων βροντὴν ἠδ' αἰθαλόεντα κεραυνὸν,
Κάρτει νικήσας πατέρα Κρόνον. εὖ δὲ ἕκαστα
Ἀθανάτοις διέταξεν ὁμῶς, καὶ ἐπέφραδε τιμάς.
Ταῦτ' ἄρα Μοῦσαι ἄειδον, ὀλύμπια δώματ' ἔχουσαι,
Ἐννέα θυγατέρες μεγάλου Διὸς ἐκγεγαυῖαι,
Κλειώ τ', Εὐτέρπη τε, Θάλειά τε, Μελπομένη τε,
Τερψιχόρη τ', Ἐρατώ τε, Πολύμνιά τ', Οὐρανίη τε,
Καλλιόπη θ'· ἡ δὲ προφερεστάτη ἐστὶν ἁπασέων.
Ἡ μὲν γὰρ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.

Ὅντινα τιμήσουσι Διὸς κοῦραι μεγάλοιο,
Γεινόμενόν τ' ἐσίδωσι διοτρεφέων βασιλήων,
Τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἀοιδὴν,
Τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ
Πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
Ἰθείῃσι δίκῃσιν. ὁ δ' ἀσφαλέως ἀγορεύων,
Αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε.
Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
Βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι
Ῥηϊδίως, μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν.
Ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὣς ἱλάσκονται
Αἰδοῖ μειλιχίῃ· μετὰ δὲ πρέπει ἀγρομένοισιν,
Οἵα τοι Μουσάων ἱερὴ δόσις ἀνθρώποισιν.
Ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
Ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί·
Ἐκ δὲ Διὸς, βασιλῆες. ὁ δ' ὄλβιος ὅντινα Μοῦσαι
Φιλεῦνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
Εἰ γάρ τις καὶ πένθος ἔχων νεοκηδέϊ θυμῷ
Ἄζηται κραδίην ἀκαχήμενος, αὐτὰρ ἀοιδὸς
Μουσάων θεράπων κλεῖα προτέρων ἀνθρώπων
Ὑμνήσῃ, μάκαράς τε θεοὺς οἳ Ὄλυμπον ἔχουσιν,
Αἶψ' ὅγε δυσφρονέων ἐπιλήθεται, οὐδέ τι κηδέων
Μέμνηται· ταχέως δὲ παρέτραπε δῶρα θεάων.
Χαίρετε τέκνα Διὸς, δότε δ' ἱμερόεσσαν ἀοιδήν.
Κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων,
Οἳ Γῆς ἐξεγένοντο καὶ Οὐρανοῦ ἀστερόεντος,
Νυκτὸς καὶ δνοφερῆς, οὓς θ' ἁλμυρὸς ἔτρεφε Πόντος.

Quemcunque honoraturæ sunt Iovis filiæ magni,
In lucem editumq; aspexerint a Iove nutritorum regum;
Huic quidem super linguam dulcē fundunt cantilenam,
Huius verba ex ore fluunt blanda: cæterum populi
Omnes ad ipsum respiciunt, discernentem ius
Rectis iudiciis. hic autem tuto cauteque loquens,
Statim etiam magnam contentionem scite diremit.
Propterea enim reges prudentes, quod populis
Damno affectis in foro res iterum integras restituunt
Facile, mollibus alloquentes verbis.
Incedentem vero per urbem, veluti deum, placant
Reverētia blanda: eminet vero inter ipsos congregatos.
Tale Musarum ingens munus hominibus.
A Musis etenim, & eminus feriente Apolline,
Viri cantores sunt super terram & citharœdi:
Ex Iove vero reges. ille vero beatus, quemcunq; Musæ
Amant: suavis ei ab ore fluit vox.
Quod si enim quis luctum habens recenti dolore saucio animo
Tristetur, animo dolens, cæterum Poeta
Musarum famulus res claras priscorum hominum
Laudibus celebraverit, beatosq; deos qui Olympum incolunt;
Statim hic sollicitudinum obliviscitur, nec quicquam (dolorum
Meminit: cito enim deflexerunt eum alio dona dearum.
Salvete natæ Iovis, date vero amabilem cantilenam,
Celebrate quoque immortalium divinum genus, semper existentium,
Qui Tellure prognati sunt, & Cœlo stellato,
Nocteque caliginosa, quosque salsus nutrivit Pontus.

Dicite insuper, ut primum dij & terra fuerint,
Et flumina, & pontus immensus, æstu furens,
Astraque fulgentia & cœlum latum superne:
Et qui ex his nati sunt dij, datores bonorum.
Vtque opes diviserint, & quomodo honores distinxerint,
Atque quomodo primum multis implicitum sphæris tenuerint cœlum.
Hæc mihi dicite Musæ, cœlestes domos inhabitantes
Ab initio: & dicite quodnam primum fuerit illorum.
Primo omnium quidem Chaos fuit, ac deinde
Tellus lato pectore prædita, omnium sedes tuta semper
Immortalium, qui tenent iuga nivosi Olympi,
Tartaraque tenebricosa in recessu terræ spaciosæ:
Atque Amor, qui pulcherrimus inter immortales deos,
Solvens curas, & omnium deorum, omniumque hominū
Domat in pectoribus animum, & prudens consilium.
Ex Chao vero Erebusque, nigraque Nox editi sunt.
Ex nocte porro AEtherque & Dies prognati sunt:
Quos peperit ubi concepisset, Erebo amore mixta.
Tellus vero primum quidem genuit parem sibi
Cœlum stellis ornatum, ut ipsam totam obtegat,
Vtque esset beatis diis sedes tuta semper:
Genuit præterea montes altos, dearum gratas speluncas
Nympharum, quæ habitant per montes saltuosos.
Atque etiam infrugiferum pelagus peperit æstu furens,
Pontum, absque amore suavi. cæterum deinde
Cœlo concumbens, peperit Oceanum profundos vortices habentem,
Cœumque, Creumque, Hyperionemque, Iapetumque,
Theamque, Rheamque, Theminque, Mnemosynenque,

Phœbenque

Εἴπατε δ' ὡς τὰ πρῶτα θεοὶ καὶ γαῖα γένοντο,
Καὶ ποταμοὶ, καὶ πόντος ἀπείριτος οἴδματι θύων,
Ἄστρα τε λαμπετόωντα, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
Οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ, δωτῆρες ἐάων.
Ὥς τ' ἄφενος δάσσαντο, καὶ ὡς τιμὰς διέλοντο,
Ἠδὲ καὶ ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον ὄλυμπον.
Ταῦτά μοι ἔσπετε Μοῦσαι ὀλύμπια δώματ' ἔχουσαι,
Ἐξ ἀρχῆς, καὶ εἴπαθ' ὅ, τι πρῶτον γένετ' αὐτῶν.
Ἤτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
Ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου·
Τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης,
Ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι,
Λυσιμελὴς, πάντων τε θεῶν πάντων τ' ἀνθρώπων
Δάμναται ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν.
Ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο.
Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο.
Οὓς τέκε κυσσαμένη, Ἐρέβει φιλότητι μιγεῖσα.
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι,
Ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί.
Γείνατο δ' οὔρεα μακρὰ, θεῶν χαρίεντας ἐναύλους
Νυμφέων, αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα.
Ἡ δὲ καὶ ἀτρύγετον Πέλαγος τέκεν οἴδματι θῦον,
Πόντον, ἄτερ φιλότητος ἐφιμέρου. αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα, τέκ' Ὠκεανὸν βαθυδίνην,
Κοῖόν τε, Κρεῖόν θ' Ὑπερίονά τ', Ἰαπετόν τε,
Θείαν τε, Ῥείαν τε, Θέμιν τε Μνημοσύνην τε,

Φοίβην τε χρυσοστέφανον, Τηθύν τ' ἐρατεινήν.
Τοὺς δὲ μέθ' ὁπλότατος γένετο Κρόνος ἀγκυλομήτης,
Δεινότατος παίδων· θαλερὸν δ' ἤχθηρε τοκῆα.
Γείνατο δ' αὖ Κύκλωπας ὑπέρβιον ἦτορ ἔχοντας,
Βρόντην τε, Στερόπην τε, καὶ Ἄργην ὀβριμόθυμον.
Οἳ Ζηνὶ βροντήν τ' ἔδοσαν, τεῦξάν τε κεραυνόν.
Οἳ δή τοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν,
Μοῦνος δ' ὀφθαλμὸς μέσσῳ ἐπέκειτο μετώπῳ.
Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρα σφέων
Κυκλοτερὴς ὀφθαλμὸς εἷς ἐνέκειτο μετώπῳ·
Ἰσχύς τ' ἠδὲ βίη καὶ μηχαναὶ ἦσαν ἐπ' ἔργοις.
Ἄλλοι δ' αὖ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
Τρεῖς παῖδες μεγάλοι καὶ ὄβριμοι, οὐκ ὀνομαστοί,
Κόττος τε, Βριάρεώς τε, Γύγης θ', ὑπερήφανα τέκνα.
Τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀίσσοντο
Ἄπλαστοι, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
Ἐξ ὤμων ἐπέφυκον, ἐπὶ στιβαροῖσι μέλεσσιν.
Ἰσχὺς δ' ἄπλητος, κρατερή, μεγάλῳ ἐπὶ εἴδει.
Ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
Δεινότατοι παίδων, σφετέρῳ δ' ἤχθοντο τοκῆι
Ἐξ ἀρχῆς. καὶ τῶν μὲν ὅπως τις πρῶτα γένοιτο,
Πάντας ἀποκρύπτασκε, καὶ ἐς φάος οὐκ ἀνίησκε,
Γαίης ἐν κευθμῶνι· κακῷ δ' ἐπετέρπετο ἔργῳ
Οὐρανός. ἡ δ' ἐντὸς στοναχίζετο Γαῖα πελώρη,
Στεινομένη· δολίην δὲ κακὴν ἐπεφράσατο τέχνην.
Αἶψα δὲ ποιήσασα γένος πολιοῦ ἀδάμαντος,
Τεῦξε μέγα δρέπανον, καὶ ἐπέφραδε παισὶ φίλοισιν.
Εἶπε δὲ θαρσύνουσα, φίλον τετιημένη ἦτορ.
Παῖδες ἐμοὶ καὶ πατρὸς ἀτασθάλου, αἴ κ' ἐθέλητε

Πείθε-

Phœbenq; aurea corona insignem, Tethynq; amabilem.
Hos vero post natu minimus natus est Saturnus vafer,
Acerrimus inter liberos: floridum autem odio prosequebatur parentem.
Porro genuit & Cyclopes superbum cor habentes,
Brontenq;, Steropenq;, & Argen forti animo præditum:
Qui Iovi & tonitru dederunt, & fabricarunt fulmen.
Qui sane per alia diis similes erant,
Vnus vero oculus media positus erat fronte.
Cyclopes vero illis nomen e re erat, eo quod ipsorum
Circularis oculus unicus inerat fronti:
Roburq; & vires, & molimina erant in operibus.
Alij rursus e Tellure & Cælo prognati sunt
Tres filij magni, & prævalidi, non nominandi,
Cottusque, Briareusque, Gygesque, superba proles.
Quorum centũ quidẽ manus ab humeris impetuose movebãtur,
Inaccessæ: capita vero unicuiq; quinquaginta
Ex humeris prognata erant, super robustos artus.
Robur autem immensum, validum, ingenti in statura.
Quotquot enim Tellure & Cælo procreati sunt,
Potentissimi filiorum, suo infensi erant parenti
Ab initio. & horum quidem ut quisq; primũ nascebatur,
Omnes occultabat, & in lucem non emittebat,
Terræ in latebris: malo autem oblectabatur opere
Cælum. ipsa vero intus ingemiscebat Terra vasta,
Arctata: dolosam vero malamq; excogitavit artem.
Statim vero cum procreasset genus cani ferri,
Fabricavit magnam falcem: edixit vero charis liberis.
Dixit autem animum addens, charo mærens corde:
Filij mei & patris nefarij, si volueritis

Parere. patris malam ulciscemur contumeliam
Vestri. prior enim sæva machinatus est opera.
Sic dixit: illos vero omnes invasit metus, neq; quispiam illorum
Locutus est. confirmato animo tandem magnus Saturnus versutus
E contra verbis compellavit matrem castam:
Mater, ego certe hoc in me recipiens peragam
Facinus. patrem enim inauspicatum nihil curo
Nostrum. prior enim sæva meditatus est opera.
Sic dixit: gavisa est autem valde animo Tellus ingens:
Collocavit autē ipsū celās in insidiis: indidit vero manui
Falcem asperis dentibus: dolo autem instruxit omni.
Venit autem Noctem adducens magnum Cælum, undique vero Telluri
Cupiens amorem imminebat, & sane extentum est
Passim: ex insidiis autem filius petijt manu
Sinistra, dextra vero immanem cepit falcem,
Longam, asperos dentes habentē, chariq; genitalia patris
Festinanter demessuit, rursumque abiecit ut ferrentur
Pone. illa quidem non incassum elapsa sunt manu:
Quotquot enim guttæ proruperunt cruentæ,
Omnes suscepit Terra: circumvolutis autem annis,
Produxit Erinnyasque validas magnosque Gigantas,
Armis nitentes, longas hastas manibus tenentes:
Nymphasq;, quas Melias vocant super immensam terrā.
Testiculisque ut prius resectis, ferrum
Proiecit circa Epirum undis agitatum in pontum.
Sic ferebātur per pelagus longo tēpore. circumcirca vero alba
Spuma ab immortali corpore oriebatur: in ea puella
Innutrita est: primum vero ad Cytheras divinas

Veheba-

Πείθεσθαι, πατέρος γε κακὴν ποιήμεθα λώβην
Ὑμετέρου. πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.
Ὣς φάτο. τοὺς δ' ἄρα πάντας ἕλεν δέος, οὐδέ τις αὐτῶν
Φθέγξατο· θαρσήσας δὲ μέγας Κρόνος ἀγκυλομήτης
Αἶψ' αὖτις μύθοισι προσηύδα μητέρα κεδνήν·
Μῆτερ, ἐγώ κεν τοῦτό γ' ὑποσχόμενος τελέσαιμι
Ἔργον. ἐπεὶ πατρός γε δυσωνύμου οὐκ ἀλεγίζω
Ἡμετέρου. πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.
Ὣς φάτο· γήθησεν δὲ μέγα φρεσὶ Γαῖα πελώρη·
Εἷσε δέ μιν κρύψασα λόχῳ· ἐνέθηκε δὲ χερσὶν
Ἅρπην καρχαρόδοντα· δόλον δ' ὑπεθήκατο πάντα,
Ἦλθε δὲ Νύκτ' ἐπάγων μέγας Οὐρανός· ἀμφὶ δὲ Γαίῃ
Ἱμείρων φιλότητος ἐπέσχετο, καί ῥ' ἐτανύσθη
Πάντη. ὁ δ' ἐκ λοχεοῖο πάϊς ὠρέξατο χειρὶ
Σκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλλαβεν ἅρπην,
Μακρὴν, καρχαρόδοντα, φίλου δ' ἀπὸ μήδεα πατρὸς
Ἐσσυμένως ἤμησε, πάλιν δ' ἔρριψε φέρεσθαι
Ἐξοπίσω. τὰ μὲν οὔτι ἐτώσια ἔκφυγε χειρός·
Ὅσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι,
Πάσας δέξατο Γαῖα· περιπλομένων δ' ἐνιαυτῶν,
Γείνατ' Ἐριννῦς τε κρατερὰς, μεγάλους τε Γίγαντας,
Τεύχεσι λαμπομένους, δολίχ' ἔγχεα χερσὶν ἔχοντας,
Νύμφας θ' ἃς Μελίας καλέουσ' ἐπ' ἀπείρονα γαῖαν.
Μήδεα θ' ὡς τοπρῶτον ἀποτμήξας, ἀδάμαντι
Κάββαλ' ἐπ' Ἠπείρου πολυκλύστῳ ἐνὶ πόντῳ,
Ὣς φέρετ' ἀμπέλαγος πουλὺν χρόνον· ἀμφὶ δὲ λευκὸς
Ἀφρὸς ἀπ' ἀθανάτου χροὸς ὤρνυτο· τῷ δ' ἐνὶ κούρη
Ἐθρέφθη· πρῶτον δὲ Κυθήροισι ζαθέοισιν

Ἔπλετ'· ἔνθεν ἔπειτα περίρρυτον ἵκετο Κύπρον.
Ἐκ δ' ἔβη αἰδοίη καλὴ θεός. ἀμφὶ δὲ ποίη
Ποσσὶν ὑπὸ ῥαδινοῖσιν ἀέξετο· τὴν δ' Ἀφροδίτην,
Ἀφρογένειάν τε θεὰν καὶ εὐστέφανον Κυθέρειαν
Κικλήσκουσι θεοί τε καὶ ἀνέρες, οὕνεκ' ἐν ἀφρῷ
Θρέφθη· ἀτὰρ Κυθέρειαν, ὅτι προσέκυρσε Κυθήροις·
Κυπρογενέα δ', ὅτι γέντο πολυκλύστῳ ἐνὶ Κύπρῳ·
Ἠδὲ Φιλομμηδέα, ὅτι μηδέων ἐξεφαάνθη.
Τῇ δ' Ἔρος ὡμάρτησε, καὶ Ἵμερος ἕσπετο καλὸς
Γεινομένῃ τὰ πρῶτα, θεῶν τ' ἐς φῦλον ἰούσῃ.
Ταύτην δ' ἐξ ἀρχῆς τιμὴν ἔχει, ἠδὲ λέλογχε
Μοῖραν ἐν ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
Παρθενίους τ' ὀάρους, μειδήματά τ' ἐξαπάτας τε,
Τέρψιν τε γλυκερὴν, φιλότητά τε, μειλιχίην τε.
Τοὺς δὲ πατὴρ Τιτῆνας ἐπίκλησιν καλέεσκεν,
Παῖδας νεικείων μέγας Οὐρανὸς, οὓς τέκεν αὐτός.
Φάσκε δὲ τιταίνοντας ἀτασθαλίῃ μέγα ῥέξαι
Ἔργον, τοῖο δ' ἔπειτα τίσιν μετόπισθεν ἔσεσθαι.
Νὺξ δ' ἔτεκε στυγερόν τε Μόρον τε καὶ Κῆρα μέλαιναν,
Καὶ Θάνατον· τέκε δ' Ὕπνον, ἔτικτε δὲ φῦλον Ὀνείρων·
Οὔ τινι κοιμηθεῖσα θεὰ τέκε Νὺξ ἐρεβεννή·
Δεύτερον αὖ Μῶμον, καὶ Ὀϊζὺν ἀλγινόεσσαν·
Ἑσπερίδας θ', αἷς μῆλα πέρην κλυτοῦ Ὠκεανοῖο
Χρύσεα καλὰ μέλουσι, φέροντά τε δένδρεα καρπόν·
Καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους,
Κλωθώ τε, Λάχεσίν τε, καὶ Ἄτροπον· αἵτε βροτοῖσι
Γεινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε,

Αἵτ'

Vehebatur, inde tum circumfluam pervenit ad Cyprum.
Prodijt vero veneranda formosa dea: circum vero herba
Pedibus sub mollibus crescebat: Aphroditem autē ipsam,
Spuma prognatam deam & decoram pulchris sertis Cythream,
Nominant tam dij quam homines: eo quod in spuma
Nutrita fuit: Cythereum autem quod appulit Cytheris:
Cyprigenam vero quod nata sit undosa in Cypro.
Atque amantem genitalia, quia ex genitalibus emersit.
Hanc vero Amor comitatus est, & Cupido sequebatur pulcher,
Natam primum, & deorum ad cœtum euntem.
Hunc vero ab initio honorem habet, atque sortita est
Sortem inter homines & immortales deos,
Virgineas confabulationes, & risus, & deceptiones,
Oblectationemq; suavem, & amicitiam, blanditiasque.
Illos vero pater Titanas cognomento vocabat,
Filios obiurgans, magnus Cælus, quos genuit ipse.
Dictitabat porro, festinātes ex protervia magnū patrasse
Facinus, cuius deinceps ultio in posterum futura sit.
Nox præterea peperit odiosum Fatum, & Parcā atram,
Et Mortem: peperit etiam Somnum. peperit vero agmen Somniorum:
Quæ nulli mixta dea peperit Nox obscura.
Rursum postea Momum, & Ærumnam dolore plenam,
Hesperidesque, quibus mala ultra inclytum Oceanum
Aurea pulchra curæ sunt, ferentesque arbores fructus,
Et fatales deas, & parcas genuit immites,
Clotoque, Lachesinque & Atropon: quæ mortalibus
Nascentibus dant habendum bonumque malumque,

Quæque hominumque deorumq; delicta persequentes,
Nunquam desinunt deæ a vehementi ira,
Priusquam illi rependerint malam ultionem quisquis
peccarit. (minibus
Peperit præterea & Nemesin, cladem mortalibus ho-
Nox perniciosa: post hancq; Fraudē enixa est, & Amicitiā
Seniumque noxium, & Contentionē peperit pertinacem.
Cæterum Contentio odiosa peperit quidem Laborem
molestum,
Oblivionemque, Pestemque, & Dolores lacrymabiles,
Pugnasque, Cædesque, Prœliaque, Stragesque virorum,
Iurgiaque, mendacesque Sermones, Disceptationesque,
Legum contemptum Noxamque, familiares inter sese,
Iuramentumque quod plurimum terrestres homines
Lædit, quando quispiam volens peieraverit:
Nereumq; alienū a mendacio, & veracē genuit Pontus,
Maximum natu filiorum. sed vocant senem,
Eo quod verus atque placidus, nec iuris & æqui
Obliviscitur, sed iusta & mansueta consilia novit.
Deinde rursum Thaumantē magnum & fortē Phorcyn,
Terræ commistus, & Ceto pulchris genis præditam,
Eurybiamque, ferreum in pectore animum habentem.
Ex Nereo porro prognati sunt perquam amabilis soboles
dearum
Ponto in infructuoso, & ex Doride pulchricoma,
Filia Oceani rotundi fluvij,
Protoque, Eucrateque, Saoque, Amphitriteque,
Eudoraque, Thetisque, Galeneque, Glauceque,
Cymothoe, Spioque velox, Thaliaque iucunda,
Et Melita gratiosa & Eulimine & Agave,

Αἵτ' ἀνδρῶν τε θεῶν τε παραιβασίας ἐφέπουσαι
Οὐδέποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο,
Πρίν γ' ἀπὸ τῷ δώωσι κακὴν ὄπιν ὅς τις ἁ-
μαρτῇ.
Τίκτε δὲ καὶ Νέμεσιν, πῆμα θνητοῖσι βροτοῖσι,
Νὺξ ὀλοή· μετὰ τὴν δ' Ἀπάτην τέκε καὶ Φιλό-
τητα,
Γῆρας τ' οὐλόμενον, καὶ Ἔριν τέκε καρτερόθυμον.
Αὐτὰρ Ἔρις στυγερὴ τέκε μὲν Πόνον ἀλγινόεντα,
Λήθην τε, Λοιμόν τε, καὶ Ἄλγεα δακρυόεντα,
Ὑσμίνας τε, Φόνους τε, Μάχας τ', Ἀνδροκτασίας τε,
Νείκεά τε, ψευδέας τε Λόγους, Ἀμφιλογίας τε,
Δυσνομίην, Ἄτην τε, συνήθεας ἀλλήλοισιν·
Ὅρκον θ', ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
Πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ·
Νηρέα τ' ἀψευδέα καὶ ἀληθέα γείνατο Πόντος,
Πρεσβύτατον παίδων. αὐτὰρ καλέουσι γέροντα,
Οὕνεκα νημερτής τε καὶ ἤπιος· οὐδὲ θεμιστέων
Λήθεται, ἀλλὰ δίκαια καὶ ἤπια δήνεα οἶδεν.
Αὖτις δ' αὖ Θαύμαντα μέγαν, καὶ ἀγήνορα Φόρ-
κυν,
Γαίῃ μισγόμενος, καὶ Κητὼ καλλιπάρῃον,
Εὐρυβίην τ' ἀδάμαντος ἐνὶ φρεσὶ θυμὸν ἔχουσαν.
Νηρῆος δ' ἐγένοντο μεγήρατα τέκνα θεάων,
Πόντῳ ἐν ἀτρυγέτῳ, καὶ Δωρίδος ἠϋκόμοιο,
Κούρης Ὠκεανοῖο τελήεντος ποταμοῖο,
Πρωτώ τ', Εὐκράτη τε, Σαώ τ', Ἀμφιτρίτη τε,
Εὐδώρη τε, Θέτις τε, Γαλήνη τε, Γλαύκη τε,
Κυμοθόη, Σπειώ τε θοή, Θαλίη τ' ἐρόεσσα,
Καὶ Μελίτη χαρίεσσα, καὶ Εὐλιμένη, καὶ Ἀγαυή,

Πασιθέη τ', Ἐρατώ τε, καὶ Εὐνείκη ῥοδόπηχυς,
Δωτώ τε, Πρωτώ τε, Φέρουσά τε, Δυναμένη τε,
Νησαίη τε, καὶ Ἀκταίη, καὶ Πρωτομέδεια,
Δωρὶς, καὶ Πανόπη, καὶ εὐειδὴς Γαλάτεια·
Ἱπποθόη τ' ἐρόεσσα, καὶ Ἱππονόη ῥοδόπηχυς·
Κυμοδόκη θ', ἣ κύματ' ἐν ἠεροειδέϊ πόντῳ.
Πνοιάς τε ζαθέων ἀνέμων, σὺν Κυματολήγῃ,
Ῥεῖα πρηΰνει, καὶ ἐϋσφύρῳ Ἀμφιτρίτῃ·
Κυμώ τ', Ἠϊόνη τε, ἐϋστέφανός θ' Ἁλιμήδη·
Γλαυκονόμη τε φιλομμειδὴς, καὶ Ποντοπόρεια·
Λειαγόρη τε, καὶ Εὐαγόρη, καὶ Λαομέδεια·
Πουλυνόμη τε, καὶ Αὐτονόη, καὶ Λυσιάνασσα,
Εὐάρνη τε φυήν τ' ἐρατὴ καὶ εἶδος ἄμωμος·
Καὶ Ψαμάθη χαρίεσσα δέμας, δίη τε Μενίππη
Νησώ τ', Εὐπόμπη τε, Θεμιστώ τε, Προνόη τε·
Νημερτής θ', ἣ πατρὸς ἔχει νόον ἀθανάτοιο.
Αὗται μὲν Νηρῆος ἀμύμονος ἐξεγένοντο
Κοῦραι πεντήκοντα, ἀμύμονα ἔργ' εἰδυῖαι.
Θαύμας δ' Ὠκεανοῖο βαθυρρείταο θύγατρα
Ἠγάγετ' Ἠλέκτρην. ἡ δ' ὠκεῖαν τέκεν Ἶριν,
Ἠϋκόμους θ' Ἁρπυίας, Ἀελλώ τ' Ὠκυπέτην τε,
Αἵ ῥ' ἀνέμων πνοιῇσι καὶ οἰωνοῖς ἅμ' ἕπονται,
Ὠκείῃς πτερύγεσσι· μεταχρόνιαι γὰρ ἴαλλον.
Φόρκυϊ δ' αὖ Κητὼ Γραίας τέκε καλλιπαρήους,
Ἐκ γενετῆς πολιὰς, τὰς δὴ Γραίας καλέουσιν
Ἀθάνατοί τε θεοὶ, χαμαὶ ἐρχόμενοί τ' ἄνθρωποι.
Πεφρηδώ τ' εὔπεπλον, Ἐνυώ τε κροκόπεπλον,
Γοργούς θ' αἳ ναίουσι πέρην κλυτοῦ Ὠκεανοῖο,
Ἐσχατιῇ πρὸς νυκτὸς· ἵν' Ἑσπερίδες λιγύφωνοι,

Σθει-

Pasitheaque, Eratoque, & Eunice roseis lacertis prædita,
Dotoque, Protoque, Pherusaque, Dynameneque,
Nesæaque, & Actæa, & Protomedia,
Doris, & Panope, & speciosa Galatea,
Hippothoeque lepida, & Hippone roseis lacertis prædita,
Cymodoceque, quæ fluctus in obscuro ponto,
Et flatus divinorum ventorum, una cum Cymatolege
Facile mitigat, & cũ pulchros talos habente Amphitrite:
Cymoque, Eioneque, pulchreque coronata Halimede,
Glauconomeque hilaris, & Pontoporia,
Liagoreque, & Evagore, & Laomedia,
Polynomeque, & Autonoe, & Lysianassa,
Euarneque tam indolis gratæ, quam inculpatæ formæ.
Et Psamathe decora corpore, divinaque Menippe.
Nesoque, Eupompeque, Themistoque, Pronoeque,
Nemertesque; quæ patris habet animum immortalis.
Hæ quidem ex Nereo inculpato procreatæ sunt
Filiæ quinquaginta, inculpata opera callentes.
Thaumas vero Oceani profundiflui filiam
Duxit Electram. hæc autem celerem peperit Irim,
Pulchricomasque Harpyias, Aelloque, Ocypetenque,
Quæ ventorum flamina, & aves assequuntur
Pernicibus alis· in cælo enim degentes volitant.
Phorco post hæc Ceto Graas peperit pulchris genis præditas,
A partu canas, quas ob id, Graas, vocant.
Immortalesque dÿ, humique incedentes homines.
Pephredoque pulchro peplo, Enyoque croceo peplo,
Gorgonesque, quæ habitant celebrem Oceanum,
In extrema parte ad noctem: ubi Hesperides argutæ,

Sthenoque, Euryaleque, Medusaque gravia perpessa.
Ipsa erat mortalis, ast aliæ immortales, & senio non obnoxiæ
Duæ: cum una concubuit cærulea cæsarie Neptunus
In molli prato & floribus vernis.
Eius autem Perseus caput cum amputasset,
Exiliit Chrysaor magnus, & Pegasus equus.
Huic quidem cognomentum erat, quod Oceani apud fontes
Natus esset: cæterum hic ensem aureum tenebat manibus suis:
Et ille quidem cum avolasset, relicta terra matre pecorũ
Pervenit ad immortales. Iovis vero in domo habitat,
Tonitruque & fulgur ferens Iovi prudenti.
Chrysaor porro genuit tricipitem Geryonem,
Mixtus Calliroæ filiæ nobilis Oceani.
Illum quidem armis exuit vis Herculana,
Boves apud flexipedes circumflua in Erythia.
Die illo cum boves egit latas frontes habentes
Tirynthum in sacram, emensus iter Oceani,
Orthoque interfecto, & bubulco Eurytione,
Stabulo in obscuro, ultra inclytum Oceanum.
Ipsa insuper peperit aliud monstrum, perplexum, nihil simile
Mortalibus hominibus, neque immortalibus diis,
Specu in concavo, divinam animo infracto Echidnam:
Dimidio nympham, nigris oculis, pulchris genis,
Dimidio item ingentem serpentem horrendumque, magnumque,
Varium, crudivorum, divinæ sub cavernis terræ.
Illic vero ei specus est in imo, cava sub petra,

Procul

Σθεινώ τ', Εὐρυάλη τε, Μέδουσά τε, λυγρὰ παθοῦσα.
Ἡ μὲν ἔην θνητὴ, αἱ δ' ἀθάνατοι καὶ ἀγήρως
Αἱ δύο· τῇ δὲ μιῇ παρελέξατο Κυανοχαίτης,
Ἐν μαλακῷ λειμῶνι, καὶ ἄνθεσιν εἰαρινοῖσι.
Τῆς δ' ὅτε δὴ Περσεὺς κεφαλὴν ἀπεδειροτόμησεν,
Ἐξέθορε Χρυσάωρ τε μέγας, καὶ Πήγασος ἵππος.
Τῷ μὲν ἐπώνυμον ἦν, ὅτ' ἄρ' Ὠκεανοῦ περὶ πηγὰς
Γείνεθ', ὁ δ' ἄορ χρύσειον ἔχεν μετὰ χερσὶ φίλῃσι.
Χ' ὡ μὲν ἀποπτάμενος, προλιπὼν χθόνα μητέρα μήλων,
Ἵκετ' ἐς ἀθανάτους· Ζηνὸς δ' ἐν δώμασι ναίει,
Βροντήν τε στεροπήν τε φέρων Διῒ μητιόεντι.
Χρυσάωρ δ' ἔτικε τρικάρηνον Γηρυονῆα,
Μιχθεὶς Καλλιρόη κούρῃ κλυτοῦ Ὠκεανοῖο.
Τὸν μὲν ἄρ' ἐξενάριξε βίη Ἡρακληείη,
Βουσὶ παρ' εἰλιπόδεσσι, περιρρύτῳ εἰν Ἐρυθείῃ·
Ἤματι τῷ, ὅτε περ βοῦς ἤλασεν εὐρυμετώπους
Τίρυνθ' εἰς ἱερὴν, διαβὰς πόρον Ὠκεανοῖο,
Ὄρθον τε κτείνας, καὶ βουκόλον Εὐρυτίωνα,
Σταθμῷ ἐν ἠερόεντι, πέρην κλυτοῦ Ὠκεανοῖο.
Ἡ δ' ἔτεκ' ἄλλο πέλωρον, ἀμήχανον, οὐδὲν ἐοικὸς
Θνητοῖς ἀνθρώποις, οὐδ' ἀθανάτοισι θεοῖσι,
Σπῆϊ ἐνὶ γλαφυρῷ, θείην κρατερόφρον' Ἔχιδναν,
Ἥμισυ μὲν νύμφην ἑλικώπιδα, καλλιπάρηον,
Ἥμισυ δ' αὖτε πέλωρον ὄφιν, δεινόν τε μέγαν τε,
Ποικίλον, ὠμηστὴν, ζαθέης ὑπὸ κεύθεσι γαίης.
Ἔνθα δέ οἱ σπέος ἐστὶ κάτω, κοίλῃ ὑπὸ πέτρῃ,

Τηλοῦ ἀπ' ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων·
Ἔνθ' ἄρα οἱ δάσσαντο θεοὶ κλυτὰ δώματα ναίειν.
Ἡ δ' ἔρυτ' εἰν Ἀρίμοισιν ὑπὸ χθόνα λυγρὴ Ἔχιδνα,
Ἀθάνατος νύμφη καὶ ἀγήραος ἤματα πάντα.
Τῇ δὲ Τυφάονα φασὶ μιγήμεναι ἐν φιλότητι,
Δεινόν θ' ὑβριστήν τ' ἄνεμον, ἑλικώπιδι κούρῃ.
Ἡ δ' ὑποκυσαμένη, τέκετο κρατερόφρονα τέκνα.
Ὄρθον μὲν πρῶτον κύνα γείνατο Γηρυονῆι·
Δεύτερον αὖτις ἔτικτεν ἀμήχανον οὔτι φατειὸν,
Κέρβερον, ὠμηστὴν, ἀίδεω κύνα χαλκεόφωνον,
Πεντηκοντακάρηνον, ἀναιδέα τε κρατερόν τε·
Τὸ τρίτον, Ὕδρην αὖτις ἐγείνατο, λύγρ' εἰδυῖαν,
Λερναίην, ἣν θρέψε θεὰ λευκώλενος Ἥρη,
Ἄπλητον κοτέουσα βίῃ Ἡρακληείῃ.
Καὶ τὴν μὲν Διὸς υἱὸς ἐνήρατο νηλέϊ χαλκῷ
Ἀμφιτρυωνιάδης, σὺν ἀρηϊφίλῳ Ἰολάῳ,
Ἡρακλέης, βουλῇσιν Ἀθηναίης ἀγελείης.
Ἡ δὲ Χίμαιραν ἔτικτε, πνέουσαν ἀμαιμάκετον πῦρ,
Δεινήν τε, μεγάλην τε, ποδώκεά τε, κρατερήν τε.
Τῆς δ' ἦν τρεῖς κεφαλαί. μία μὲν, χαροποῖο λέοντος·
Ἡ δὲ, χιμαίρης· ἡ δ', ὄφιος κρατεροῖο δράκοντος.
Πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα,
Δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο.
Τὴν μὲν Πήγασος εἷλε καὶ ἐσθλὸς Βελλεροφόντης.
Ἡ δ' ἄρα Σφίγγ' ὀλοὴν τέκε, Καδμείοισιν ὄλεθρον,
Ὄρθῳ ὑποδμηθεῖσα· Νεμειαῖόν τε λέοντα,
Τόν ῥ' Ἥρη θρέψασα Διὸς κυδνὴ παράκοιτις,
Γουνοῖσιν κατένασσε Νεμείης, πῆμ' ἀνθρώποις·

Ἐν

Procul ab immortalibusq; diis mortalibusq; hominibus:
Ibi sane ei destinarunt dij inclytas domos incolere.
Atque coercebatur in Arimis sub terra tetra Echidna,
Immortalis nympha & senij expers diebus omnibus.
Huic Typhaonem aiunt mixtum esse amore,
Vehementem & violentum ventum, nigris oculis decoræ puellæ.
Illa vero gravida facta, peperit fortes filios,
Orthum quidem primo canem peperit Geryoni.
Iterum secundo edidit partu immensum, minime effabilem,
Cerberum crudivorum, Plutonis canem ærea voce,
Quinquaginta capitum, impudentemque, fortemque.
Tertio, Hydram genuit abominabilem,
Lernæam, quam enutrivit dea albis ulnis Iuno,
Insatiabiliter indignans virtuti Herculanæ.
Ac illam quidem Iovis filius occidit sævo ferro
Amphitryoniades, cum bellicoso Iolao,
Hercules ex consiliis Minervæ prædatricis.
Tum ipsa Chimæram peperit, spirantē terribilem ignem,
Trucemque, magnamque, pernicemque, validamque.
Illius erant tria capita: unum quidem terribilis leonis,
Alterū capellæ, tertium vero serpentis robusti draconis;
Ante leo, pone vero draco, in medio autem capra,
Horrende efflans ignis robur ardentis.
Hanc quidem Pegasus cepit, & strenuus Bellerophontes,
Illa sane Sphingē exitialem peperit, Cadmeis perniciem,
Ab Ortho subacta: Nemeumque leonem,
Quem Iuno cum enutrivisset, Iovis veneranda uxor,
In locis fertilibus collocavit Nemeæ, cladem hominibus.

Ibi sane hic commorans decipiebat tribus hominum,
Imperans cavernosæ Nemeæ, atque Apesanti.
Sed ipsum robur domuit virtutis Herculanæ.
Ceto vero minimum natu, cum Phorco amore mixta,
Peperit gravē serpentem, qui obscuræ in latibulis terræ
Finibus in amplis prorsus aurea mala custodit.
Hoc quidem ex Ceto & Phorco genus est.
Tethys autem Oceano flumina peperit verticosa,
Nilumque, Alpheumque, & Eridanum profundos vortices habentem,
Strymonem, Mæandrumq;, & Istrum pulchrifluum,
Phasinque, Rhesumque, Acheloium argentivorticem,
Nessumque, Rhodiumque, Haliacmonemque, Heptaporumque,
Granicumque, & AEsapum, divinumque Simoenta,
Peneumque, & Hermum, amœneque fluentem Caicum,
Sangariumque magnum, Ladonemque, Partheniumq;,
Eucnumque, & Ardescum, divinumque Scamandrum.
Peperit quoq; filiarum sacrum genus, quæ per terram
Viros a teneris educant, una cum Apolline rege,
Et fluminibus: hanc vero a Iove sortem habent,
Pithoque, Admeteque, Iantheque, Electraque,
Dorisque, Prymnoque, & Vrania forma deam referens,
Hippoque, Clymeneque, Rhodiaque, Callirocque,
Zeuxoque, Cythieque, Idyiaque, Pasithoeque,
Plexaureque, & Galaxaure, amabilisque Dione,
Melobosisque, Thoeque, & venusta Polydora,
Cerceisque indole amabilis, Plutoque bovinis oculis,
Perseisque, Ianiraque, Acasteque, Xantheque,
Petræaque lepida, Menesthoque, Europaque,

Metisque,

Ἔνθ' ἄρ' ὅγ' οἰκείων, ἐλεφαίρετο φῦλ' ἀνθρώπων,
Κοιρανέων Τρητοῖο Νεμείης ἠδ' Ἀπέσαντος.
Ἀλλά ἑ ἶς ἐδάμασσε βίης Ἡρακληείης.
Κητὼ δ' ὁπλότατον, Φόρκυϊ φιλότητι μιγεῖσα,
Γείνατο, δεινὸν ὄφιν, ὃς ἐρεμνῆς κεύθεσι γαίης,
Πείρασιν ἐν μεγάλοις παγχρύσεα μῆλα φυλάσσει.
Τοῦτο μὲν ἐκ Κητοῦς καὶ Φόρκυος γένος ἐστί.
Τηθὺς δ' Ὠκεανῷ ποταμοὺς τέκε δινήεντας,
Νεῖλόν τ', Ἀλφειόν τε, καὶ Ἠριδανὸν βαθυδίνην,
Στρυμόνα, Μαίανδρόν τε, καὶ Ἴστρον καλλιρέεθρον,
Φᾶσίν τε, Ῥῆσόν τ', Ἀχελώϊον ἀργυροδίνην·
Νέσσον τε, Ῥόδιόν θ', Ἁλιάκμονά θ', Ἑπτάπορόν τε,
Γρήνικόν τε, καὶ Αἴσηπον, θεῖόν τε Σιμοῦντα,
Πηνειόν τε, καὶ Ἕρμον, ἐϋρρείτην τε Κάϊκον,
Σαγγάριόν τε μέγαν, Λάδωνά τε, Παρθένιόν τε,
Εὔηνόν τε, καὶ Ἄρδησκον, θεῖόν τε Σκάμανδρον.
Τίκτε δὲ θυγατέρων ἱερὸν γένος, αἳ κατὰ γαῖαν
Ἄνδρας κουρίζουσιν, Ἀπόλλωνι ξὺν ἄνακτι,
Καὶ ποταμοῖς. ταύτην δὲ Διὸς πάρα μοῖραν ἔχουσι,
Πειθώ τ', Ἀδμήτη τε, Ἰάνθη τ', Ἠλέκτρη τε,
Δωρίς τε, Πρυμνώ τε, καὶ Οὐρανίη θεοειδής,
Ἱππώ τε, Κλυμένη τε, Ῥοδία τε, Καλλιρόη τε,
Ζευξώ τε, Κλυτίη τε, Ἰδυῖά τε, Πασιθόη τε,
Πληξαύρη τε, Γαλαξαύρη τε, ἐρατή τε Διώνη,
Μηλόβοσίς τε, Θόη τε, καὶ εὐειδὴς Πολυδώρη·
Κερκηΐς τε φυὴν ἐρατὴ, Πλουτώ τε βοῶπις,
Περσηΐς τ', Ἰάνειρά τ', Ἀκάστη τε, Ξάνθη τε,
Πετραίη τ' ἐρόεσσα, Μενεσθώ τ', Εὐρώπη τε,

Μῆτις τ', Εὐρυνόμη τε, Τελεσθώ τε κροκόπεπλος·
Κρισίη τ', Ἀσίη τε, καὶ ἱμερόεσσα Καλυψώ.
Εὐδώρη τε, Τύχη τε, καὶ Ἀμφιρὼ, Ὠκυρόη τε·
Καὶ Στὺξ, ἣ δὴ σφέων προφερεστάτη ἐστὶν ἁπασῶν.
Αὗται δ' Ὠκεανοῦ καὶ Τηθύος ἐξεγένοντο
Πρεσβύταται κοῦραι. πολλαί γε μέν εἰσι καὶ ἄλλαι.
Τρὶς γὰρ χίλιαι εἰσὶ τανύσφυροι Ὠκεανῖναι,
Αἵ ῥα πολυσπερέες γαῖαν καὶ βένθεα λίμνης
Πάντη ὁμῶς ἐφέπουσι, θεάων ἀγλαὰ τέκνα.
Τόσσοι δ' αὖθ' ἕτεροι ποταμοὶ καναχηδὰ ῥέοντες,
Υἱέες Ὠκεανοῦ, τοὺς γείνατο πότνια Τηθύς·
Τῶν ὄνομ' ἀργαλέον πάντων βροτὸν ἄνδρα ἐνίσπειν,
Οἳ δὲ ἕκαστοι ἴσασιν οἳ ἂν περιναιετάωσι.
Θεία δ' Ἠέλιόν τε μέγαν, λαμπράν τε Σελήνην,
Ἠῶ θ', ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει,
Ἀθανάτοις τε θεοῖς τοὶ οὐρανὸν εὐρὺν ἔχουσι.
Γείναθ', ὑποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι.
Κρείῳ δ' Εὐρυβίη τέκεν φιλότητι μιγεῖσα,
Ἀστραῖόν τε μέγαν, Πάλλαντά τε, δῖα θεάων·
Πέρσην θ', ὃς καὶ πᾶσι μετέπρεπεν ἰδμοσύνῃσιν.
Ἀστραίῳ δ' Ἠὼς ἀνέμους τέκε καρτεροθύμους,
Ἀργέστην Ζέφυρον, Βορέην τ' αἰψηροκέλευθον,
Καὶ Νότον, ἐν φιλότητι θεῷ θεὰ εὐνηθεῖσα.
Τοὺς δὲ μετ' ἀστέρα τίκτεν Ἑωσφόρον ἠριγένεια,
Ἄστρα τε λαμπετόωντα τά τ' οὐρανὸς ἐστεφάνωται.
Στὺξ δὲ τέκ' Ὠκεανοῦ θυγάτηρ, Πάλλαντι μιγεῖσα,

Ζῆλον

Metisque, Eurynomeque, Telestoque croceo peplo:
Crisieque, Asiaque & amabilis Calypso:
Eudoreque, Tycheque, & Amphiro, Ocyroeque,
Et Styx, quæ ipsarum excellentissima est omnium:
Atque hæ Oceano & Tethyde prognatæ sunt,
Grandiores natu filiæ. multæ quidem sunt & aliæ:
Ter mille enim sunt celeres filiæ Oceani,
Quæ sane dispersæ terram & profunditates lacus,
Passim pariter incolunt, dearum splendida proles.
Tot rursus alij fluvij cum strepitu fluentes,
Filij Oceani, quos peperit veneranda Tethys:
Quorum nomina difficile omnium mortalem virum proloqui:
Sed singulatim noverunt quicunque circum habitant.
Thia præterea Solemque magnum, lucentemque Lunam,
Auroramque quæ omnibus terrestribus lumen præbet,
Immortalibusque diis qui cælum latum tenent,
Genuit, congressa cum Hyperione in amore.
Crio autem Eurybia peperit, per amorem mixta,
Astræumque magnum, Pallantemque, præstantissima dearum,
Persenque, qui etiam omnes præcellebat peritia.
Astræo vero Aurora ventos peperit magnanimos,
Argesten, Zephyrum, Boreamque rapidum,
Et Notum, in amore cum deo dea congressa.
Post hos vero Aurora stellam genuit Luciferum mane genita,
Astraque fulgentia, quibus cælum cinctum est.
Styx vero peperit Oceani filia, Pallanti mixta,

Zelum & Nicen, pulchros talos habentem in ædibus,
Et Robur atque Vim præclaros genuit filios,
Quibus non est seorsim a Iove domus nec ulla sedes,
Neque via, qua non illis deus præit:
Sed semper apud Iovem graviter tonantē sedem habent.
Sic enim consuluit Styx incorruptibilis, Oceani filia,
Die illo, quando omnes Olympius fulgurator
Immortales vocavit deos ad altum cælum.
Dixit autem, quod quisquis una secum deorum contra Titanes pugnet,
Nulli se adempturum præmia, sed honorem quemque
Habiturum, quem antea inter immortales deos.
Illum etiam dixit qui honoris expers fuerit sub Saturno & immunis,
Ad honores ac præmia provecturum, ut fas est.
Venit autem prima Styx incorruptibilis ad Olympum
Cum suis filiis chari per consilia patris.
Ipsam vero Iupiter honoravit: eximia quoque dona dedit.
Ipsam enim constituit deorum magnum ut sit iuramentum,
Filij autem diebus omnibus sui cohabitatores ut sint.
Similiter etiam omnibus prorsus sicuti pollicitus erat,
Perfecit. ipse autem præpotens est, atque regem agit.
Phœbe porro Cœi peroptabilem venit ad lectum.
Gravida vero facta deinde dea dei in amore,
Latonam cæruleo peplo peperit blandam semper,
Mitem hominibus atque immortalibus diis,
Suavem ab initio, in primis hilarem intra Olympum.
Genuit insuper Asteriam claram, quam olim Perses
Duxit in amplam domum, chara ut vocetur uxor.

Ζῆλον καὶ Νίκην καλλίσφυρον ἐν μεγάροισι,
Καὶ Κράτος, ἠδὲ Βίην, ἀριδείκετα γείνατο τέκνα,
Τῶν οὐκ ἔστ' ἀπάνευθε Διὸς δόμος, οὐδέ τις ἕδρη,
Οὐδ' ὁδὸς, ὅπη μὴ κείνοις θεὸς ἡγεμονεύει·
Ἀλλ' αἰεὶ πὰρ Ζηνὶ βαρυκτύπῳ ἑδριόωνται.
Ὣς γὰρ ἐβούλευσε Στὺξ ἄφθιτος Ὠκεανίνη,
Ἤματι τῷ ὅτε πάντας Ὀλύμπιος ἀστεροπητὴς
Ἀθανάτους ἐκάλεσε θεοὺς ἐς μακρὸν ὄλυμπον.
Εἶπε δ' ὃς ἂν μετὰ εἷο θεῶν Τιτῆσι μάχοιτο,
Μή, τιν' ἀπορραίσειν γεράων, τιμὴν δὲ ἕκαστον
Ἑξέμεν ἣν τὸ πάρος γε μετ' ἀθανάτοισι θεοῖσι.
Τὸν δ' ἔφαθ' ὅς τις ἄτιμος ὑπὸ Κρόνου ἠδ' ἀγέραστος,
Τιμῆς καὶ γεράων ἐπιβησέμεν ἣ θέμις ἐστί.
Ἦλθε δ' ἄρα πρώτη Στὺξ ἄφθιτος οὔλυμπόνδε
Σὺν σφοῖσι παίδεσσιν, φίλου διὰ μήδεα πατρός.
Τὴν δὲ Ζεὺς τίμησε, περισσὰ δὲ δῶρα ἔδωκεν.
Αὐτὴν μὲν γὰρ ἔθηκε θεῶν μέγαν ἔμμεναι ὅρκον,
Παῖδας δ' ἤματα πάντα ἑοὺς μεταναιέτας εἶναι.
Ὣς δ' αὔτως πάντεσσι διαμπερὲς, ὥσπερ ὑπέστη,
Ἐξετέλεσσ'· αὐτὸς δὲ μέγα κρατεῖ ἠδὲ ἀνάσσει.
Φοίβη δ' αὖ Κοίου πολυήρατον ἦλθεν ἐς εὐνήν·
Κυσαμένη δ' ἤπειτα θεὰ θεοῦ ἐν φιλότητι
Λητὼ κυανόπεπλον ἐγείνατο μείλιχον αἰεὶ
Ἤπιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
Μείλιχον ἐξ ἀρχῆς, ἀγανώτατον ἐντὸς ὀλύμπου.
Γείνατο δ' Ἀστερίην εὐώνυμον, ἥν ποτε Πέρσης
Ἠγάγετ' ἐς μέγα δῶμα, φίλην κεκλῆσθαι ἄκοιτιν.

Ἡ δ' ὑποκυσαμένη Ἑκάτην τέκε, τὴν περὶ πάντων
Ζεὺς Κρονίδης τίμησε· πόρεν δέ οἱ ἀγλαὰ δῶρα,
Μοῖραν ἔχειν γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.
Ἡ δὲ καὶ ἀστερόεντος ὑπ' οὐρανοῦ ἔμμορε τιμῆς,
Ἀθανάτοις τε θεοῖσι τετιμημένη ἐστὶ μάλιστα.
Καὶ γὰρ νῦν ὅτε πού τις ἐπιχθονίων ἀνθρώπων
Ἔρδων ἱερὰ καλὰ κατὰ νόμον ἱλάσκηται,
Κικλήσκει Ἑκάτην· πολλή τέ οἱ ἕσπετο τιμὴ
Ῥεῖα μάλ', ᾧ πρόφρων γε θεὰ ὑποδέξεται εὐχάς·
Καί οἱ ὄλβον ὀπάζει· ἐπεὶ δύναμίς γε πάρεστιν.
Ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
Καὶ τιμὴν ἔλαχον, τούτων ἔχει αἶσαν ἁπάντων.
Οὐδέ τί μιν Κρονίδης ἐβιήσατο οὐδέ τ' ἀπηύρα
Ὅσσ' ἔλαχεν Τιτῆσι μετὰ προτέροισι θεοῖσιν,
Ἀλλ' ἔχει ὡς τὸ πρῶτον ἀπ' ἀρχῆς ἔπλετο δασμός.
Οὐδ' ὅτι μουνογενής, ἧσσον θεὰ ἔμμορε τιμῆς,
Καὶ γέρας ἐν γαίῃ τε καὶ οὐρανῷ ἠδὲ θαλάσσῃ·
Ἀλλ' ἔτι καὶ πολὺ μᾶλλον, ἐπεὶ Ζεὺς τίεται αὐτήν.
Ὧι δ' ἐθέλει μεγάλως παραγίνεται, ἠδ' ὀνίνησιν.
Ἔν τ' ἀγορῇ λαοῖσι μεταπρέπει, ἥν κ' ἐθέλῃσιν
Ἡ δ' ὁπότ' ἐς πόλεμον φθισήνορα θωρήσσονται
Ἀνέρες, ἔνθα θεὰ παραγίνεται οἷς κ' ἐθέλῃσι,
Νίκην προφρονέως ὀπάσαι καὶ κῦδος ὀρέξαι.
Ἔν τε δίκῃ βασιλεῦσι παρ' αἰδοίοισι καθίζει,
Ἐσθλὴ δ' αὖθ' ὁπότ' ἄνδρες ἀγῶνι ἀεθλεύωσιν,
Ἔνθα θεὰ καὶ τοῖς παραγίνεται, ἠδ' ὀνίνησι·
Νικήσας δὲ βίῃ καρτεῖ καλὸν ἄεθλον

Ῥεῖα

Illa autē gravidata Hecaten peperit, quam super omnes
Iupiter Saturnius honoravit: dedit vero ei splendida dona,
Potestatem ut habeat terraque & infrugiferi maris.
Imo etiam stellígero sub cælo sortita est honorem,
Immortalibusque diis honorata est maxime:
Etenim nunc quādo alicubi aliquis terrestrium hominū,
Faciens sacra honesta ex lege expiat,
Invocat Hecaten: ingens vero eum sequitur honor
Facillime, cuius benevola dea suscipit preces:
Et illi divitias largitur; nam facultas ipsi adest.
Quotquot enim Terra Cæloq; prognati sunt,
Et honorem sorte acceperunt, istorum habet sortem omnium.
Neque quicquam ipsi Saturnius per vim ademit, neque (privavit
Eorum quæcunq; sortita est Titanas inter priores deos.
Sed habet sicut prius ab initio facta est distributio.
Nec quia unigenita, minus dea sortita est honorem,
Et potestatem tam in terra ac cælo, quam in mari:
Sed insuper multo magis, quoniam Iupiter honorat ipsā.
Cui vero vult, magnifice præsto est, atque iuvat.
Inque concione inter homines eminet, qua scilicet voluerit.
Atque quando ad bellum perdens-viros armantur
Viri, tum dea adest quibus voluerit,
Victoriam prompte ut præbeat, & laudem porrigat.
Inque iudicio reges apud venerandos sedet.
Bona insuper quando viri in certamine colluctantur;
Ibi enim dea & illis præsto est, atque iuvat.
Qui vero vicerit virtute & robore, pulchrū præmium

Facile fert, lætusque parentibus gloriam dat.
Bona item equitibus adesse quibus voluerit:
Et his qui glaucum mare tempestuosum secant,
Votaque faciunt Hecatæ, & valde sonanti Neptuno.
Facile etiam prædam inclyta dea dedit copiosam,
Facile vero abstulit apparentem, volens saltem animo.
Bona præterea in stabulis cum Mercurio pecus augere,
Armentaq; boum, gregesque, & greges latos caprarum,
Gregesque lanigerarum ovium animo saltem volens,
Ex paucis fœcunda facit, & ex multis pauciora reddit.
Adeo sane licet unigenita ex matre existens,
Omnibus inter deos honorata est muneribus.
Fecit autem ipsam Saturnius alumnam iuvenum, qui post ipsam
Oculis aspexerunt lumen multa contuentis Auroræ.
Sic ab initio nutriens filios: atq; hi sunt honores.
Rhea autem compressa a Saturno, peperit illustres liberos,
Vestam, Cererem, & Iunonem aureis calceamentis gaudentem,
Fortemque Plutonem, qui sub terra domos incolit,
Immite cor habens, & valde sonantem Neptunum,
Iovemque sapientem, deorum patrem atque hominum,
Cuius a tonitru concutitur lata terra.
Atque istos quidem deglutiebat Saturnus magnus, quicunq;
Ex utero sacro matris ad genua venerat:
Hæc agitans, ne ullus clarorum filiorum Cœli
Alius inter Immortales haberet regium decus.
Audierat enim ex Terra & Cœlo stellis micante,
Quod sibi fatale esset proprio a filio domari.
Quantumvis robusto existenti, Iovis magni per consilia.

Ideoque

Ῥεῖα φέρει, χαίρων τε τοκεῦσιν κῦδος ὀπάζει.
Ἐσθλὴ δ' ἱππήεσσι παρεστάμεν οἷς κ' ἐθέλησι,
Καὶ τοῖς οἳ γλαυκὴν δυσπέμφελον ἐργάζονται,
Εὔχονται δ' Ἑκάτῃ καὶ ἐρικτύπῳ Ἐννοσιγαίῳ,
Ῥηϊδίως δ' ἄγρην κυδνὴ θεὸς ὤπασε πολλήν,
Ῥεῖα δ' ἀφείλετο φαινομένην, ἐθέλουσά γε θυμῷ.
Ἐσθλὴ δ' ἐν σταθμοῖσι σὺν Ἑρμῇ ληΐδ' αἴξειν,
Βουκολίας τ', ἀγέλας τε, καὶ αἰπόλια πλατέ' αἰγῶν.
Ποίμνας τ' εἰροπόκων γ' οἴων, θυμῷ γε θέλουσα,
Ἐξ ὀλίγων βριάει, κἀκ πολλῶν μείονα θῆκεν.
Οὕτω τοι καὶ μουνογενὴς ἐκ μητρὸς ἐοῦσα,
Πᾶσι μετ' ἀθανάτοισι τετίμηται γεράεσσι.
Θῆκε δέ μιν Κρονίδης κουροτρόφον, οἳ μετ' ἐκείνην
Ὀφθαλμοῖσιν ἴδοντο φάος πολυδερκέος Ἠοῦς.
Οὕτως ἐξ ἀρχῆς κουροτρόφος· αἵδε τε τιμαί
Ῥείη δ' αὖ δμηθεῖσα Κρόνῳ τέκε φαίδιμα τέκνα,
Ἱστίην, Δήμητρα, καὶ Ἥρην χρυσοπέδιλον,
Ἴφθιμόν τ' Ἀΐδην, ὃς ὑπὸ χθονὶ δώματα ναίει,
Νηλεὲς ἦτορ ἔχων· καὶ ἐρίκτυπον Ἐννοσίγαιον,
Ζῆνά τε μητιόεντα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
Τοῦ καὶ ὑπὸ βροντῆς πελεμίζεται εὐρεῖα χθών·
Καὶ τοὺς μὲν κατέπινε Κρόνος μέγας, ὅς τις ἕκαστος
Νηδύος ἐξ ἱερῆς μητρὸς πρὸς γούναθ' ἵκοιτο·
Τὰ φρονέων, ἵνα μή τις ἀγαυῶν οὐρανιώνων
Ἄλλος ἐν ἀθανάτοισιν ἔχῃ βασιληΐδα τιμήν.
Πεύθετο γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἀστερόεντος,
Οὕνεκά οἱ πέπρωτο ἑῷ ὑπὸ παιδὶ δαμῆναι,
Καὶ κρατερῷ περ ἐόντι, Διὸς μεγάλου διὰ βουλάς.

Τῷ ὅγε οὐκ ἀλαοσκοπιὴν ἔχεν, ἀλλὰ δοκεύων
Παῖδας ἑοὺς κατέπινε· Ῥέην δ᾽ ἔχε πένθος ἄλαστον.
Ἀλλ᾽ ὅτε δὴ Δί᾽ ἔμελλε θεῶν πατέρ᾽ ἠδὲ καὶ ἀνδρῶν
Τέξεσθαι, τότ᾽ ἔπειτα φίλους λιτάνευε τοκῆας
Τοὺς αὐτῆς, Γαῖάν τε καὶ Οὐρανὸν ἀστερόεντα,
Μῆτιν συμφράσσασθαι ὅπως λελάθοιτο τεκοῦσα
Παῖδα φίλον, τίσαιτο δ᾽ ἐρινῦς πατρὸς ἑοῖο,
Παίδων οὓς κατέπινε μέγας Κρόνος ἀγκυλομήτης.
Οἱ δὲ θυγατρὶ φίλῃ μάλα μὲν κλύον ἠδ᾽ ἐπίθοντο·
Καί οἱ πεφραδέτην ὅσα περ πέπρωτο γενέσθαι
Ἀμφὶ Κρόνῳ βασιλῆϊ καὶ υἱέϊ καρτεροθύμῳ.
Πέμψαν δ᾽ ἐς Λύκτον, Κρήτης ἐς πίονα δῆμον,
Ὁπποτ᾽ ἄρ᾽ ὁπλότατον παίδων ἤμελλε τεκέσθαι,
Ζῆνα μέγαν· τὸν μέν οἱ ἐδέξατο Γαῖα πελώρη
Κρήτῃ [ἐν] εὐρείῃ τραφέμεν ἀτιταλλέμεναί τε.
Ἔνθα μὲν ἷκτο φέρουσα θοὴν διὰ νύκτα μέλαιναν,
Πρώτην ἐς Λύκτον· κρύψεν δέ ἑ χερσὶ λαβοῦσα
Ἄντρῳ ἐν ἠλιβάτῳ, ζαθέης ὑπὸ κεύθεσι γαίης,
Ἀργαίῳ ἐν ὄρει πεπυκασμένῳ ὑλήεντι.
Τῷ δὲ σπαργανίσασα μέγαν λίθον ἐγγυάλιξεν
Οὐρανίδῃ μέγ᾽ ἄνακτι, θεῶν προτέρῳ βασιλῆϊ.
Τὸν τόθ᾽ ἑλὼν χείρεσσιν ἑὴν ἐγκάτθετο νηδύν,
Σχέτλιος· οὐδ᾽ ἐνόησε μετὰ φρεσὶν ὡς οἱ ὀπίσσω
Ἀντὶ λίθου ἑὸς υἱὸς ἀνίκητος καὶ ἀκηδὴς
Λείπεθ᾽, ὅ μιν τάχ᾽ ἔμελλε βίῃ καὶ χερσὶ δαμάσσας,
Τιμῆς ἐξελάαν, ὁ δ᾽ ἐν ἀθανάτοισιν ἀνάξειν.
Καρπαλίμως δ᾽ ἄρ᾽ ἔπειτα μένος καὶ φαίδιμα γυῖα

Ηὔξετο

Ideoque hic non cæcam ſpeculationem habuit, ſed inſidias ſtruens
Filios ſuos devorabat: Rheam autē tenebat luctus gravis.
Sed quando iam Iovē erat deorum patrē atq; virorum
Paritura, iam tum charis ſupplicabat parentibus
Suis, Terræque, & Cælo ſtellato,
Conſilium ut ſuggererent, quo pacto lateret pariens
Filium charum, poſſetque ulciſci furias patris ſui
Contra filios, quos devorabat ingens Saturnus verſutus.
Illi vero filiæ dilectæ auſcultarunt & morem geſſerunt,
Et ei commemorarunt, quæcunque fatis conſtitutum eſſet fieri
Circa Saturnum regem, & filium magnanimum:
Miſerunt autē in Lyctum, Cretæ ad pinguem populum,
Cum minimum natu filiorum eſſet paritura,
Iovem magnum. hunc quidem ipſi ſuſcepit Terra vaſta
In Creta lata, ad educandum & enutriendū ab infantia.
Tum quidem pervenit ferens celerē per noctem nigram,
Primum ad ipſam Lyctum: abſcondit autem ipſum manibus prehenſum
Antro in excelſo, divinæ ſub latebris terræ,
Argæo in monte denſo ſylvoſo.
Huic autem faſciis involutum magnum lapidem in manus dedit
Cæli filio, præpotenti deorum priori regi.
Quem tum arreptū manibus, ſuam condidit in alvum,
Miſer, nec cogitavit animo quod ſibi in poſterum
Pro lapide ſuus filius invictus & ſecurus
Supereſſet, qui ipſum mox eſſet vi & manibus domitum
Ex honore expulſurus, ipſeq; immortalibus eſſet imperaturus.
Celeriter autē deinde robur & fortia membra

Crescebant regis: revoluto autem anno,
Terra consilio astuto circumventus,
Suam sobolem iterum emisit magnus Saturnus versutus,
Victus artibus ac vi filij sui.
Primum vero evomuit lapidem, ultimo devoratum.
Illum quidem Iupiter firmiter defixit in terrā spaciosam
Pytho in divina, iugis sub Parnassi,
Monumentum ut sit in posterum, miraculum mortalibus hominibus.
Solvit vero patruos noxiis vinculis
Cœligenas: quos vinxerat pater ex amentia.
Qui ipsi retulerunt gratiam beneficiorum,
Dederuntque tonitru, atque candens fulmen,
Et fulgur. quæ antea immanis terra occultaverat:
Quibus confisus, mortalibus atque immortalibus imperat.
Filiam porro Iapetus pulchros talos habentem Oceanidem
Duxit Clymenen, & eundem lectum conscendit.
Ipsa vero ei Atlantem magnanimum peperit filium.
Peperit præterea gloria præsignem Menœtium, atque Prometheum
Varium, versipellem: stultumque Epimetheum,
Qui noxa statim ab initio fuit hominibus inventoribus rerum.
Primus enim Iovis fictam suscepit mulierem,
Virginē. iniurium vero Menœtium late videns Iupiter
In Erebum detrusit, feriens fuliginoso fulmine,
Propter improbitatem & fortitudinem insolentem.
Atlas vero cœlum latum sustinet dura ex necessitate,
Finibus in terræ, e regione Hesperidum argutarum

Stans,

Ηὔξετο τοῖο ἄνακτος· ἐπιπλομένου δ' ἐνιαυτοῦ
Γαίης ἐννεσίησι πολυφραδέεσσι δολωθεὶς,
Ὃν γόνον ἂψ ἀνέηκε μέγας Κρόνος ἀγκυλομήτης,
Νικηθεὶς τέχνησι βίηφί τε παιδὸς ἑοῖο.
Πρῶτον δ' ἐξήμησε λίθον, πύματον καταπίνων·
Τὸν μὲν Ζεὺς στήριξε κατὰ χθονὸς εὐρυοδείης
Πυθοῖ ἐν ἠγαθέη γυάλοις ὑπὸ Παρνησσοῖο,
Σῆμ' ἔμεν ἐξοπίσω, θαῦμα θνητοῖσι βροτοῖσι.
Λῦσε δὲ πατροκασιγνήτους ὀλοῶν ἀπὸ δεσμῶν
Οὐρανίδας, οὓς δῆσε πατὴρ ἀεσιφροσύνῃσιν,
Οἵ οἱ ἀπεμνήσαντο χάριν εὐεργεσιάων,
Δῶκαν δὲ βροντὴν, ἠδ' αἰθαλόεντα κεραυνὸν,
Καὶ στεροπήν· τὸ πρὶν δὲ πελώρη Γαῖα κεκεύθει·
Τοῖς πίσυνος, θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.
Κούρην δ' Ἰαπετὸς καλλίσφυρον Ὠκεανίνην
Ἠγάγετο Κλυμένην, καὶ ὁμὸν λέχος εἰσανέβαινεν.
Ἡ δέ οἱ Ἄτλαντα κρατερόφρονα γείνατο παῖδα·
Τίκτε δ' ὑπερκύδαντα Μενοίτιον, ἠδὲ Προμηθέα
Ποικίλον, αἰολόμητιν· ἁμαρτίνοόν τ' Ἐπιμηθέα,
Ὃς κακὸν ἐξ ἀρχῆς γένετ' ἀνδράσιν ἀλφηστῇσι·
Πρῶτος γάρ ῥα Διὸς πλαστὴν ὑπέδεκτο γυναῖκα
Παρθένον. ὑβριστὴν δὲ Μενοίτιον εὐρύοπα Ζεὺς
Εἰς ἔρεβος κατέπεμψε, βαλὼν ψολόεντι κεραυνῷ,
Εἵνεκ' ἀτασθαλίης τε καὶ ἠνορέης ὑπερόπλου.
Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης,
Πείρασιν ἐν γαίης, πρόπαρ' Ἑσπερίδων λιγυφώνων

Ἑστηὼς, κεφαλῇ τε καὶ ἀκαμάτοισι χέρεσσι.
Ταύτην γάρ οἱ μοῖραν ἐδάσσατο μητίετα Ζεύς.
Δῆσε δ' ἀλυκτοπέδῃσι Προμηθέα ποικιλόβουλον,
Δεσμοῖς ἀργαλέοισι μέσον διὰ κίον' ἐλάσσας.
Καί οἱ ἐπ' αἰετὸν ὦρσε τανύπτερον· αὐτὰρ ὅγ' ἧπαρ
Ἤσθιεν ἀθάνατον, τὸ δ' ἀέξετο ἶσον ἁπάντῃ
Νυκτὸς, ὅσον πρόπαν ἦμαρ ἔδοι τανυσίπτερος ὄρνις.
Τὸν μὲν ἄρ' Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς
Ἡρακλέης ἔκτεινε, κακὴν δ' ἀπὸ νοῦσον ἄλαλκεν
Ἰαπετιονίδῃ, καὶ ἐλύσατο δυσφροσυνάων·
Οὐκ ἀέκητι Ζηνὸς ὀλυμπίου ὑψιμέδοντος,
Ὄφρ' Ἡρακλῆος Θηβαγενέος κλέος εἴη
Πλεῖον ἔτ' ἢ τὸ πάροιθεν ἐπὶ χθόνα πουλυβότειραν.
Ταῦτ' ἄρα ἀζόμενος τίμα ἀριδείκετον υἱόν·
Καί περ χωόμενος, παύθη χόλου, ὃν πρὶν ἔχεσκεν
Οὕνεκ' ἐρίζετο βουλὰς ὑπερμενέϊ Κρονίωνι.
Καὶ γὰρ ὅτ' ἐκρίνοντο θεοὶ θνητοί τ' ἄνθρωποι
Μηκώνῃ, τότ' ἔπειτα μέγαν βοῦν πρόφρονι θυμῷ
Δασσάμενος προὔθηκε, Διὸς νόον ἐξαπαφίσκων.
Τῷ μὲν γὰρ σάρκας τε καὶ ἔγκατα πίονι δημῷ
Ἐν ῥινῷ κατέθηκε, καλύψας γαστρὶ βοείῃ·
Τῷ δ' αὖτ' ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ
Εὐθετίσας κατέθηκε, καλύψας ἀργέτι δημῷ.
Δὴ τότε μιν προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε,
Ἰαπετιονίδη, πάντων ἀριδείκετ' ἀνάκτων,
Ὦ πέπον, ὡς ἑτεροζήλως διεδάσσαο μοίρας.
Ὣς φάτο κερτομέων Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
Τὸν δ' αὖτε προσέειπε Προμηθεὺς ἀγκυλομήτης,

Stans, capiteque & indefeßis manibus.
Hanc enim ipsi sortem destinavit prudens Iupiter.
Ligavit vero inevitabilibus compedibus Promethea versutum,
Vinculis duris mediam per columnam adigens.
Et ei aquilam immisit expansis alis: cæterum hæc epar
Comedebat æternum, quin ipsum crescebat tantũ ubiq;
Noctu, quantũ toto die edisset extentas alas habẽs avis.
Hunc quidẽ Alcmenæ pulchros talos habẽtis fortis filius
Hercules occidit, malum vero morbum profligavit
Ab Iapetionida, & liberavit ab ægritudine:
Non invito Iove Olympio in alto imperante.
Quo Herculis Thebis geniti gloria esset
Maior etiam quã antea super terram multos pascentem.
Ob id itaque veneratus honorabat præclarum filium.
Et, licet succensens, remisit iram, quam prius habuerat.
Eo quod contendisset consilio cum præpotenti Iove.
Etenim quando disceptabant inter se dij mortalesque homines,
Mecone, ibi tum magnum bovem volente animo,
Divisum proposuit, Iovis mentem fallens.
Nam hac quidem parte carnesq; & intestina cum pingui (adipe
In pelle deposuit, tegens ventre bovino:
In altera rursum ossa alba bovis, dolosa arte,
Rite disponens recondidit tegens candida aruina.
Iamq; tũ ipsum allocutus est pater hominumq; deorumq;
Iapetionida omnium illustrißime regum,
O amice, quam inique partitus es portiones!
Sic dixit latenter eum carpens Iupiter immortalis.
Hunc vicißim alloquutus est Prometheus vafer,

Tacite arridens (dolosæ autē non immemor erat artis.)
Iupiter gloriosissime, maxime deorum sempiternorum,
Harum elige utram tibi in pectoribus animus suadet.
Dixit sane dolosa cogitans. Iupiter autē immortalis,
Cognovit certe nec ignoravit dolum. mala autem concipiebat animo
Adversus homines mortales, quæ & perficienda erant.
Manibus vero hic utrisque sustulit album adipem.
Irascebatur autē mente: ira vero eius occupabat animū,
Vt vidit ossa alba bovis, dolosa arte.
Ex illo tempore diis super terram genus hominum
Adolent ossa alba odoratis in aris.
Hunc autem valde contristatus allocutus est nubicogus (Iupiter,
Iapetonida, super omnes sapiens,
O amice, nondum sane dolosæ oblitus es artis:
Sic dixit ira percitus Iupiter immortalis.
Ex illo tempore deinceps doli memor semper,
Non dabat miseris ignis robur indefessi
Mortalibus hominibus, qui super terram habitant:
Sed ipsum decepit bonus filius Iapeti,
Furatus indomiti ignis eminus apparentem splendorem,
In concava ferula. momordit vero imo animo
Iovem in alto tonantem, ad iramque ipsius animum commovit,
Vt vidit inter homines ignis longe apparentem splen- (dorem.
Protinus autem pro igne struxit malum hominibus.
E terra enim conformavit per quam celebris Vulcanus
Virginis pudicæ simulachrum, Saturnij consilio.
Cinxit vero & adoravit dea cæsiis oculis Minerva,
Candida veste: a capite vero calyptram

Inge-

Ἦ κ' ἐπιμηδήσας, (δολίης δ' οὐ λήθετο τέχνης)
Ζεῦ κύδιστε, μέγιστε θεῶν αἰειγενετάων,
Τῶν δ' ἕλευ ὁπποτέρην σε ἐνὶ φρεσὶ θυμὸς ἀνώγει.
Φῆ ῥα δολοφρονέων. Ζεὺς δ' ἄφθιτα μήδεα εἰδὼς
Γνῶ ῥ' οὐδ' ἠγνοίησε δόλον· κακὰ δ' ὄσσετο θυμῷ
Θνητοῖς ἀνθρώποισι, τὰ καὶ τελέεσθαι ἔμελλεν.
Χερσὶ δ' ὅγ' ἀμφοτέρῃσιν ἀνείλετο λευκὸν ἄλειφαρ.
Χώσατο δὲ φρένας, ἀμφὶ χόλος δέ μιν ἵκετο θυμὸν,
Ὡς ἴδεν ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ.
Ἐκ τοῦ δ' ἀθανάτοισιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
Καίουσ' ὀστέα λευκὰ θυηέντων ἐπὶ βωμῶν.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδὼς,
Ὦ πέπον, οὐκ ἄρα πω δολίης ἐπιλήθεο τέχνης.
Ὣς φάτο χωόμενος Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
Ἐκ τούτου δ' ἤπειτα, δόλου μεμνημένος αἰεὶ
Οὐκ ἐδίδου μελέοισι πυρὸς μένος ἀκαμάτοιο
Θνητοῖς ἀνθρώποις, οἳ ἐπὶ χθονὶ ναιετάουσιν.
Ἀλλά μιν ἐξαπάτησεν ἐῢς παῖς Ἰαπετοῖο,
Κλέψας ἀκαμάτοιο πυρὸς τηλέσκοπον αὐγὴν
Ἐν κοίλῳ νάρθηκι. δάκεν δ' ἄρα νειόθι θυμὸν
Ζῆν' ὑψιβρεμέτην, ἐχόλωσε δέ μιν φίλον ἦτορ,
Ὡς ἴδεν ἀνθρώποισι πυρὸς τηλέσκοπον αὐγήν.
Αὐτίκα δ' ἀντὶ πυρὸς τεῦξεν κακὸν ἀνθρώποισι.
Γαίης γὰρ σύμπλασσε περικλυτὸς Ἀμφιγυήεις
Παρθένῳ αἰδοίῃ ἴκελον, Κρονίδεω διὰ βουλάς.
Ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη
Ἀργυφέῃ ἐσθῆτι· κατὰ κρῆθεν δὲ καλύπτρην

Δαιδαλέην χείρεσσι κατέσχεθε, θαῦμα ἰδέσθαι.
Ἀμφὶ δέ οἱ στεφάνους νεοθηλέος ἄνθεσι ποίης
Ἱμερτοὺς παρέθηκε καρήατι Παλλὰς Ἀθήνη·
Ἀμφὶ δέ οἱ στεφάνην χρυσέην κεφαλῆφιν ἔθηκε,
Τὴν αὐτὸς ποίησε περικλυτὸς Ἀμφιγυήεις,
Ἀσκήσας παλάμῃσι, χαριζόμενος Διὶ πατρί.
Τῇ δ᾽ ἐνὶ δαίδαλα πολλὰ τετεύχατο, θαῦμα ἰδέσθαι,
Κνώδαλ᾽ ὅσ᾽ ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα.
Τῶν ὅγε πόλλ᾽ ἐνέθηκε· χάρις δ᾽ ἀπελάμπετο πολλή,
Θαυμασίη, ζωοῖσιν ἐοικότα φωνήεσσιν.
Αὐτὰρ ἐπεὶ δὴ τεῦξε καλὸν κακὸν ἀντ᾽ ἀγαθοῖο
Ἐξάγαγ᾽ ἔνθα περ ἄλλοι ἔσαν θεοὶ ἠδ᾽ ἄνθρωποι,
Κόσμῳ ἀγαλλομένην γλαυκώπιδος ὀβριμοπάτρης.
Θαῦμα δ᾽ ἔχ᾽ ἀθανάτους τε θεοὺς θνητούς τ᾽ ἀνθρώπους,
Ὡς εἶδον δόλον αἰπύν, ἀμήχανον ἀνθρώποισιν.
Ἐκ τῆς γὰρ γένος ἐστὶ γυναικῶν θηλυτεράων.
Τῆς γὰρ ὀλώιόν ἐστι γένος· καὶ φῦλα γυναικῶν
Πῆμα μέγα θνητοῖσι μετ᾽ ἀνδράσι ναιετάουσιν,
Οὐλομένης πενίης οὐ σύμφορα, ἀλλὰ κόροιο.
Ὡς δ᾽ ὁπότ᾽ ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι
Κηφῆνας βόσκουσι, κακῶν ξυνήονας ἔργων,
Αἱ μέν τε πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἠμάτιαι σπεύδουσι, τιθεῖσί τε κηρία λευκά,
Οἱ δ᾽ ἔντοσθε μένοντες ἐπηρεφέας κατὰ σίμβλους,
Ἀλλότριον κάματον σφετέρην ἐς γαστέρ᾽ ἀμῶνται·
Ὡς δ᾽ αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας
Ζεὺς ὑψιβρεμέτης θῆκε, ξυνήονας ἔργων
Ἀργαλέων. ἕτερον δὲ πόρεν κακὸν ἀντ᾽ ἀγαθοῖο.
Ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν,

Ingenioſe factam manibus detinebat, mirum viſu.
Circum vero ei ſerta recens florentis e floribus herbæ,
Optata impoſuit capiti Pallas Minerva:
Circumque ei coronam auream caput poſuit,
Quam ipſe fecerat inclytus Vulcanus,
Elaborans manibus, gratificans Iovi patri.
In hac artificioſa multa cœlata erant, mira viſu,
Belluæ quas continens plurimas alit, atq; mare,
Ex illis multas in ea poſuit. gratia vero reſplendebat ma-(gna,
Mirabilis, animantibus enim ſimiles erant vivis.
Cæterum poſtquam effecit pulchrum malum pro bono,
Eduxit ubi alij erant dij atque homines,
Ornatu geſtientem cæſiæ Palladis forti patre prognatæ.
Admiratio autem cepit immortaleſque deos morta-
leſque homines,
Vbi viderunt dolū arduum, inexplicabilem hominibus.
Ex illa enim genus eſt mulierum fœminearum.
Illius enim pernicioſum eſt genus, & ſexus mulierum,
Nocumentum ingens mortales inter homines habitant,
Pernicioſæ paupertatis non comites ſed luxus.
Ac veluti cum in alveariis tectis apes
Fucos paſcunt, malorum participes operum:
Illæ quidem per totum diem ad ſolem occidentem
Diurnæ feſtinant, & faciunt favos albos:
At illi intus permanentes coopertis in alveariis,
Alienum laborem ſuum in ventrem metunt:
Similiter viris rem malam mortalibus mulieres
Iupiter altitonans dedit, participes operum
Moleſtorum. aliud vero præbuit malum pro bono.
Qui nuptias refugiens, & laborioſa opera mulierum,

Non uxorem ducere velit, gravem vero attigerit senectam,
Carens senectutis suæ fomento, si non sine opibus
Vivat; mortui possessionem inter se divident
Remoti cognati. cui vero nuptiarũ conditio contigerit,
Pudicam vero habuit coniugem, sapientem,
Huic perpetuo malum cum bono certat,
Qui vero adeptus fuerit nocentis generis,
Vivit in pectore gestans perpetuum mœrorem.
Animo & corde, & immedicabile malum est.
Adeo non licet Iovis fallere mentem neque præterire.
Neque enim Iapetionides nullo malo dignus Prometheus
Illius evitavit gravem iram: sed necessario
Quanvis multiscium existentẽ, magnũ vinculũ coercet.
Briareo vero ubi primum pater iratus est animo,
Cottoque atque Gygæ, ligavit forti vinculo,
Fortitudinẽ immanem admiratus, atq; etiam formam,
Et magnitudinem: collocavit autem sub terram latam,
Ubi illi dolores habentes sub terra agentes,
Sedent in extremitate, magnæ in finibus terræ,
Usque valde mœrentes, corde magnum luctum habentes.
Sed ipsos Saturnius atque immortales dij alij
Quos peperit pulchricoma Rhea Saturni in amore,
Terræ consiliis reduxerunt in lucem iterum.
Ipsa enim eis cuncta prolixe recensuit,
Cum illis victoriamque & splendidam gloriam accepturos.
Diu enim pugnarunt, laborem animam cruciantem habentes.
Titanesque dij, & quotquot e Saturno nati sunt.
Contra sese mutuo per validas pugnas:

Hi

Μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ' ἐπὶ γῆρας ἵκηται.
Χήτεϊ γηροκόμοιο, ὅδ' οὐ βιότου ἐπιδευὴς
Ζώει, ἀποφθιμένου δὲ διὰ κτῆσιν δατέονται
Χηρωσταί. ᾧ δ' αὖτε γάμου μετὰ μοῖρα γένηται,
Κεδνὴν δ' ἔσχεν ἄκοιτιν, ἀρηρυῖαν πραπίδεσσι,
Τῷ δὲ ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει
Ἔμμεναι· ὃς δέ κε τέτμῃ ἀταρτηροῖο γενέθλης,
Ζώει ἐνὶ στήθεσσιν ἔχων ἀλίαστον ἀνίην
Θυμῷ καὶ κραδίῃ, καὶ ἀνήκεστον κακόν ἐστιν.
Ὣς οὐκ ἔστι Διὸς κλέψαι νόον οὐδὲ παρελθεῖν.
Οὐδὲ γὰρ Ἰαπετιονίδης ἀκάκητα Προμηθεὺς
Τοῖό γ' ὑπεξήλυξε βαρὺν χόλον, ἀλλ' ὑπ' ἀνάγκης
Καὶ πολυΐδριν ἐόντα μέγας κατὰ δεσμὸς ἐρύκει.
Βριάρεῳ δ' ὡς πρῶτα πατὴρ ὠδύσατο θυμῷ,
Κόττῳ τ' ἠδὲ Γύγῃ, δῆσε κρατερῷ ἐνὶ δεσμῷ.
Ἠνορέην ὑπέροπλον ἀγώμενος ἠδὲ καὶ εἶδος,
Καὶ μέγεθος· κατένασσε δ' ὑπὸ χθονὸς εὐρυοδείης·
Ἔνθ' οἵγ' ἄλγε' ἔχοντες ὑπὸ χθονὶ ναιετάοντες,
Εἵατ' ἐπ' ἐσχατιῇ, μεγάλης ἐν πείρασι γαίης,
Δηθὰ μάλ' ἀχνύμενοι, κραδίῃ μέγα πένθος ἔχοντες.
Ἀλλὰ σφέας Κρονίδης τε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Οὓς τέκεν ἠΰκομος Ῥείη Κρόνου ἐν φιλότητι,
Γαίης φραδμοσύνῃσιν ἀνήγαγον ἐς φάος αὖτις.
Αὐτὴ γάρ σφιν ἅπαντα διηνεκέως κατέλεξε,
Σὺν κείνοις νίκην τε καὶ ἀγλαὸν εὖχος ἀρέσθαι.
Δηρὸν γὰρ μάρναντο, πόνον θυμαλγέ' ἔχοντες,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
Ἀντίον ἀλλήλοισι διὰ κρατερὰς ὑσμίνας·

Οἱ μὲν ἀφ' ὑψηλῆς Ὄθρυος Τιτῆνες ἀγαυοί,
Οἱ δ' ἄρ' ἀπ' οὐλύμποιο θεοὶ δωτῆρες ἐάων,
Οὓς τέκεν ἠΰκομος Ῥείη Κρόνῳ εὐνηθεῖσα·
Οἵ ῥα τότ' ἀλλήλοισι μάχην θυμαλγέ' ἔχοντες,
Συνεχέως ἐμάχοντο δέκα πλείους ἐνιαυτούς·
Οὐδέ τις ἦν ἔριδος χαλεπῆς λύσις οὐδὲ τελευτὴ
Οὐδετέροις, ἶσον δὲ τέλος τέτατο πτολέμοιο.
Ἀλλ' ὅτε δὴ κείνοισι παρέσχεθεν ἄρμενα πάντα,
Νέκταρ τ' ἀμβροσίην τε, τάπερ θεοὶ αὐτοὶ ἔδουσι,
Πάντων ἐν στήθεσσιν ἀέξετο θυμὸς ἀγήνωρ.
Ὡς νέκταρ δ' ἐπάσαντο καὶ ἀμβροσίην ἐρατεινήν,
Δὴ τότε τοῖς μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Κέκλυτέ μευ Γαίης τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα,
Ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοισι
Νίκης καὶ κράτεος πέρι μαρνάμεθ' ἤματα πάντα,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐκγενόμεσθα.
Ὑμεῖς δὲ μεγάλην τε βίην καὶ χεῖρας ἀάπτους
Φαίνετε Τιτήνεσσιν ἐναντίοι ἐν δαῒ λυγρῇ,
Μνησάμενοι φιλότητος ἐνηέος, ὅσσα παθόντες
Ἐς φάος ἂψ ἀφίκεσθε δυσηλεγέος ἀπὸ δεσμοῦ,
Ἡμετέρας διὰ βουλάς, ἀπὸ ζόφου ἠερόεντος.
Ὡς φάτο· τὸν δ' ἐξαῦτις ἀμείβετο Κόττος ἀμύμων,
Δαιμόνι' οὐκ ἀδάητα πιφάσκεαι· ἀλλὰ καὶ αὐτοὶ
Ἴδμεν ὅτι περὶ μὲν πραπίδες, περὶ δ' ἐστὶ νόημα,
Ἀλκτὴρ δ' ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο.
Σῇσι δ' ὑποφραδμοσύνῃσιν ἀπὸ ζόφου ἠερόεντος
Ἄψορρον δ' ἐξαῦτις ἀμειλίκτων ἀπὸ δεσμῶν

Hi quidem ab alta Othry, Titanes gloriosi,
Illi vero ab Olympo, dij datores bonorum,
Quos peperit pulchricoma Rhea Saturno concumbens.
Illi sane tum inter se pugnā animū excruciantē habentes,
Continue pugnabant, decem totos annos.
Neque ullus erat contentionis gravis exitus, neque finis
Neutris: æqualiter autem extendebatur bellum.
Sed quando iam illis apposuit congruentia omnia,
Nectarque ambrosiamque, quibus dij ipsi vescuntur,
Omnium in pectoribus augebatur animus superbus.
Vbi vero nectar comederunt & ambrosiam amabilem,
Iam tum ipsos sic affatus est pater hominumq; deorumq;:
Audite me Terræque & Cæli inclyti liberi,
Vt dicam quæ me animus in pectoribus iubet.
Iam enim admodum diu adversi nobis mutuo,
Pro victoria & imperio pugnavimus dies omnes,
Titanesque dij, & quotquot e Saturno sati sumus.
Vos vero magnamque vim & manus invictas
Ostendite Titanibus contrarij in pugna gravi,
Memores amicitiæ placidæ, quibus perpessis
Ad lucem redieritis molesto a vinculo,
Nostra per consilia a caligine obscura.
Sic dixit: illum vero rursum excepit Cottus irreprehensibilis:
Venerande, non ignota loqueris: sed & nos
Scimus quod excellunt quidem tibi præcordia, excellens vero est & intellectus,
Depulsor immortalibus damni fuisti horrendi.
Tua vero prudentia ab caligine opaca
Retro iterum acerbis a vinculis

Venimus, Saturni fili rex, quæ nollemus passi.
Ideoque nunc intento animo, & prudenti consilio,
Vindicabimus vestrum imperium in gravi conflictu,
Pugnantes cum Titanibus per acria prælia.
Sic dixit: collaudarunt vero dij datores bonorum,
Sermone audito. bellum vero cupiebat animus
Magis etiam quā antea: pugnā vero arduam excitarunt
Omnes, fœminæque & mares, die illo,
Titanesque dij, & quotquot Saturno prognati sunt,
Quosque Iupiter ex Erebo sub terra misit ad lucem,
Acres robustique, vires immensas habentes.
Horum centū quidem manus ab humeris promanabant
Omnibus simul. capita vero unicuique quinquaginta
Ex humeris enata erant in robustis artubus.
Qui tum Titanibus oppositi sunt in pugna luctuosa,
Saxa prærupta validis in manibus gestantes.
Titanes vero ab altera parte confirmabant phalanges,
Alacriter, manuumq; viriumq; simul opus ostentabant
Vtrique. horrende vero insonuit pontus immensus.
Terra vero valde stridebat: ingemiscebat vero latum cœlum
Quassatū, e fundo vero concutiebatur amplus Olympus
Impetu a deorum. concussio vero venit gravis
Ad Tartarum tenebricosum, & pedum altus fragor,
Immodici tumultus, ictuumque fortium.
Ita sane in sese mutuo iaciebant tela gemebunda.
Vox autem utrorumque pervenit ad cœlum stellatum
Adhortantium. at illi cōgrediebantur magno cū clamore.
Neq; sane amplius Iupiter cohibebat suum robur, sed
Statim robore implebantur animi, & omnem (ipsius

Exeruit

Ἠλύθομεν, Κρόνου ὑὲ ἄναξ, ἀνάελπτα παθόντες.
Τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ
Ῥυσόμεθα κράτος ὑμὸν ἐν αἰνῇ δηϊοτῆτι,
Μαρνάμενοι Τιτῆσιν ἀνὰ κρατερὰς ὑσμίνας.
Ὣς φάτ'. ἐπήνησαν δὲ θεοὶ δωτῆρες ἑάων,
Μῦθον ἀκούσαντες. πολέμου δ' ἐλιλαίετο θυμὸς
Μᾶλλον ἔτ' ἢ τοπάροιθε· μάχην δ' ἀμέγαρτον ἔγειραν,
Πάντες, θήλειαί τε καὶ ἄρσενες, ἤματι κείνῳ,
Τιτῆνές τε θεοὶ, καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
Οὕς τε Ζεὺς ἐρέβευσφιν ὑπὸ χθονὸς ἧκε φόωσδε,
Δεινοί τε κρατεροί τε, βίην ὑπέροπλον ἔχοντες.
Τῶν, ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
Πᾶσιν ὁμῶς. κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
Οἳ τότε Τιτήνεσσι κατέσταθεν ἐν δαῒ λυγρῇ,
Πέτρας ἠλιβάτους στιβαρῆς ἐν χερσὶν ἔχοντες.
Τιτῆνες δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας
Προφρονέως, χειρῶν τε βίης θ' ἅμα ἔργον ἔφαινον
Ἀμφότεροι. δεινὸν δὲ περίαχε πόντος ἀπείρων.
Γῆ δὲ μέγ' ἐσμαράγησεν· ἐπέστενε δ' οὐρανὸς εὐρὺς
Σειόμενος, πεδόθεν δ' ἐτινάσσετο μακρὸς Ὄλυμπος
Ῥιπῇ ὕπ' ἀθανάτων. ἔνοσις δ' ἵκανε βαρεῖα
Τάρταρον ἠερόεντα, ποδῶν αἰπεῖά τ' ἰωὴ
Ἀσπέτου ἰωχμοῖο, βολάων τε κρατεράων.
Ὣς ἄρ' ἐπ' ἀλλήλοις ἵεσαν βέλεα στονόεντα.
Φωνὴ δ' ἀμφοτέρων ἵκετ' οὐρανὸν ἀστερόεντα,
Κεκλομένων. οἱ δὲ ξυνίσαν μεγάλῳ ἀλαλητῷ.
Οὐδ' ἄρ' ἔτι Ζεὺς ἴσχεν ἑὸν μένος· ἀλλά νυ τοῦ γε
Εἶθαρ μὲν μένεος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν

Φαῖνε βίην. ἄμυδις δ' ἄρ' ἀπ' οὐρανοῦ ἠδ' ἀπ' ὀλύμπου
Ἀστράπτων ἔστειχε συνωχαδὸν. οἱ δὲ κεραυνοὶ
Ἴκταρ ἅμα βροντῇ τε καὶ ἀστεροπῇ ποτέοντο
Χειρὸς ἀπὸ στιβαρῆς, ἱερὴν φλόγα εἰλυφόωντες
Ταρφέες. ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζεν
Καιομένη. λάκε δ' ἀμφὶ πυρὶ μεγάλ' ἄσπετος ὕλη.
Ἔζεε δὲ χθὼν πᾶσα, καὶ Ὠκεανοῖο ῥέεθρα,
Πόντος τ' ἀτρύγετος· τοὺς δ' ἄμφεπε θερμὸς ἀϋτμὴ
Τιτῆνας χθονίους· φλὸξ δ' ἠέρα δῖαν ἵκανεν
Ἄσπετος. ὄσσε δ' ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
Αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
Καῦμα δὲ θεσπέσιον κάτεχεν χάος· εἴσατο δ' ἄντα
Ὀφθαλμοῖσιν ἰδεῖν, ἠδ' οὔασιν ὄσσαν ἀκοῦσαι.
Αὔτως ὡς ὅτε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
Πίλνατο. τοῖος γάρ κε μέγιστος δοῦπος ὀρώρει,
Τῆς μὲν ἐρειπομένης, τοῦ δ' ὑψόθεν ἐξεριπόντος.
Τόσσος δοῦπος ἔγεντο θεῶν ἔριδι ξυνιόντων.
Σὺν δ' ἄνεμοι ἔνοσίν τε κόνιν τ' ἐσφαράγιζον,
Βροντήν τε, στεροπήν τε, καὶ αἰθαλόεντα κεραυνὸν,
Κῆλα Διὸς μεγάλοιο. φέρον δ' ἰαχήν τ' ἐνοπήν τε
Ἐς μέσον ἀμφοτέρων· ὄτοβος δ' ἄπλητος ὀρώρει
Σμερδαλέης ἔριδος· κάρτος δ' ἀνεφαίνετο ἔργων.
Ἐκλίνθη δὲ μάχη. πρὶν δ' ἀλλήλοις ἐπέχοντες,
Ἐμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας·
Οἱ δ' ἄρ' ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν,
Κόττος τε, Βριάρεώς τε, Γύγης τ' ἄατος πολέμοιο.

Οἳ

Exeruit vim. simul etiam à cælo atque ab Olympo
Fulgurans incedebat confertim: fulmina autem
Celerrime una cum tonitru & fulgure volabant
Manu a robusta, sacram flammam circumvolventia
Crebra: circum vero terra alma reboabat
Ardens: crepitabat vero undiq; igne valde magna sylva.
Fervebat vero terra tota, & Oceani fluenta,
Pontusque immensus. circumdedit autem calidus vapor
Titanes terrestres: flamma vero ad aerem divinum pervenit
Magna. oculos vero visu privabat quantumvis fortium
Splendor radians fulminisque fulgurisque.
Incendium autem immensum occupavit Chaos: videbatur autem coram
Oculis aspicere, ac auribus vocem audire.
Itidem ut cum olim & terra & cælum latum superne
Appropinquabat: talis enim maximus strepitus excitabatur,
Hac quidem diruta, illa autem ex alto diruente.
Tantus fragor erat diis pugna confligentibus.
Simul quoque venti motumque pulveremque cum strepitu excitabant
Tonitruque, fulgurque, & ardens fulmen,
Tela Iovis magni: ferebant autem fremitũ, clamoremq;,
In medium utrorumq;: strepitus autẽ ingens excitabatur
Stupenda pugna: robur autem exerebatur operum.
Inclinata vero est pugna. prius vero sibi mutuo immi-(nentes,
Fortiter pugnabant in forti prælio.
Illi vero inter primos pugnam acrem excitarunt,
Cottusque, Briareusque, Gygesque insatiabilis belli.

Hi sane trecentas petras robustis e manibus
Mittebant frequentes. obumbrarunt autem iaculis
Titanas: atq; hos quidem sub terram longe patentem
Miserunt, & vinculis molestis alligarunt,
Vincentes manibus, magnanimos licet existentes:
Tantum infra sub terram, quantũ cœlum distat a terra.
Par enim spacium a terra in Tartarum caliginosum.
Novem enim noctes ac dies ferrea incus
Cœlitus delapsa, decimo die ad terram perveniret:
Novem rursus noctes & dies ferrea incus
Ex terra descendens, decimo die ad Tartarũ perveniret.
Quem circa ferreum septum ductum est. circum vero ipsum nox
Triplici ordine fusa est circa collum. sed superne
Terræ radices creverunt, & infructuosi maris.
Illic dij Titanes sub caligine opaca
Absconditi sunt, consiliis Iovis nubicogi,
Loco in squalido, vastæ ultima terræ.
His non exitus patet: portas vero imposuit Neptunus
Ferreas: murus etiam circumdatus utrinque.
Illic Gyges, Cottusque, & Briareus magnanimus
Habitant, custodes fidi Iovis ægida habentis.
Ibidem terræ tenebricosæ, & Tartari opaci,
Pontique infructuosi, & cœli stelligeri,
Ex ordine omnium fontes & fines sunt,
Molesti, squalidi, quos oderunt etiam ipsi dij:
Hiatus ingens. nec vero toto integro anno
Solum attingeret, ubi primum portas intra venerit:
Sed sane huc & illuc ferret impetuosa procella
Molesta: horrendumque etiam immortalibus diis

Hoc

Οἵ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν
Πέμπον ἐπασσυτέρας· κατὰ δ᾽ ἐσκίασαν βελέεσσι
Τιτῆνας· καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης
Πέμψαν, καὶ δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔδησαν,
Νικήσαντες χερσὶν, ὑπερθύμους περ ἐόντας,
Τόσσον ἔνερθ᾽ ὑπὸ γῆς, ὅσον οὐρανός ἐστ᾽ ἀπὸ γαίης.
Ἶσον γάρ τ᾽ ἀπὸ γῆς ἐς Τάρταρον ἠερόεντα.
Ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
Οὐρανόθεν κατιὼν, δεκάτῃ ἐς γαῖαν ἵκοιτο·
Ἐννέα δ᾽ αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
Ἐκ γαίης κατιὼν, δεκάτῃ ἐς Τάρταρον ἵκοι.
Τὸν περὶ χάλκεον ἕρκος ἐλήλαται· ἀμφὶ δέ μιν νὺξ
Τριστοιχεὶ κέχυται περὶ δειρήν. αὐτὰρ ὕπερθεν
Γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο θαλάσσης.
Ἔνθα θεοὶ Τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι
Κεκρύφαται, βουλῇσι Διὸς νεφεληγερέταο.
Χώρῳ ἐν εὐρώεντι, πελώρης ἔσχατα γαίης.
Τοῖς οὐκ ἐξιτόν ἐστι· πύλας δ᾽ ἐπέθηκε Ποσειδῶν
Χαλκείας· τεῖχος περίκειται δ᾽ ἀμφοτέρωθεν.
Ἔνθα Γύγης, Κόττος τε, καὶ ὁ Βριάρεως μεγάθυμος
Ναίουσιν, φύλακες πιστοὶ Διὸς αἰγιόχοιο.
Ἐνθάδε γῆς δνοφερῆς, καὶ Ταρτάρου ἠερόεντος,
Πόντου τ᾽ ἀτρυγέτοιο, καὶ οὐρανοῦ ἀστερόεντος,
Ἑξείης πάντων πηγαὶ καὶ πείρατ᾽ ἔασιν,
Ἀργαλέ᾽, εὐρώεντα, τά τε στυγέουσι θεοί περ·
Χάσμα μέγ᾽. οὐδέ κε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
Οὖδας ἵκοιτ᾽, εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο.
Ἀλλά κεν ἔνθα καὶ ἔνθα φέροι προθύελλα θυέλλῃ
Ἀργαλέη· δεινὸν τε καὶ ἀθανάτοισι θεοῖσι

Τοῦτο τέρας· καὶ νυκτὸς ἐρεμνῆς οἰκία δεινὰ
Ἕστηκεν, νεφέλῃς κεκαλυμμένα κυανέῃσι.
Τῶν πρόσθ᾽ Ἰαπετοῖο πάϊς ἔχετ᾽ οὐρανὸν εὐρὺν
Ἑστηὼς, κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσιν
Ἀστεμφέως, ὅθι Νύξ τε καὶ Ἡμέρα ἀμφὶς ἰοῦσαι
Ἀλλήλας προσέειπον, ἀμειβόμεναι μέγαν οὐδὸν,
Χάλκεον. ἡ μὲν ἔσω καταβήσεται, ἡ δὲ θύραζε
Ἔρχεται, οὐδέ ποτ᾽ ἀμφοτέρας δόμος ἐντὸς ἐέργει·
Ἀλλ᾽ αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα,
Γαῖαν ἐπιστρέφεται. ἡ δ᾽ αὖ δόμου ἐντὸς ἐοῦσα,
Μίμνει τὴν αὐτῆς ὥρην ὁδοῦ, ἔστ᾽ ἂν ἵκηται.
Ἡ μὲν, ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα·
Ἡ δ᾽ Ὕπνον μετὰ χερσὶ, κασίγνητον Θανάτοιο,
Νὺξ ὀλοὴ, νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.
Ἔνθα δὲ Νυκτὸς παῖδες ἐρεμνῆς οἰκί᾽ ἔχουσιν,
Ὕπνος καὶ Θάνατος, δεινοὶ θεοί· οὐδέ ποτ᾽ αὐτοὺς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν,
Οὐρανὸν εἰσανιὼν, οὐδ᾽ οὐρανόθεν καταβαίνων.
Τῶν ἕτερος μὲν γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
Ἥσυχος ἀνστρέφεται καὶ μείλιχος ἀνθρώποισι.
Τοῦ δὲ σιδηρέη μὲν κραδίη, χάλκεον δέ οἱ ἦτορ
Νηλεὲς ἐν στήθεσσιν· ἔχει δ᾽ ὃν πρῶτα λάβῃσιν
Ἀνθρώπων· ἐχθρὸς δὲ καὶ ἀθανάτοισι θεοῖσιν.
Ἔνθα θεοῦ χθονίου πρόσθεν δόμοι ἠχήεντες
Ἰφθίμου τ᾽ Ἀΐδεω καὶ ἐπαινῆς Περσεφονείης
Ἑστᾶσιν. δεινὸς δὲ κύων προπάροιθε φυλάσσει,
Νηλειὴς, τέχνην δὲ κακὴν ἔχει. ἐς μὲν ἰόντας
Σαίνει ὁμῶς οὐρῇ τε καὶ οὔασιν ἀμφοτέροισιν·
Ἐξελθεῖν δ᾽ οὐκ αὖτις ἐᾷ πάλιν, ἀλλὰ δοκεύων

Hoc monstrum: & noctis obscuræ domus horrenda
Stans, nubibus obtecta nigris.
Has ante Iapeti filius sustinebat cælum latum,
Stans, capiteque & indefessis manibus
Firmiter, ubi Noxque & Dies circum euntes
Sese mutuo compellabant, alternis subeuntes magnum limen,
Ferreum. hæc quidem intrat, illa vero foras
Egreditur, neque unquam utrasq; domus intus cohibet,
Sed semper altera saltem domos extra existens,
Terrã super movetur: altera rursum in domo existens,
Expectat eiusdem horam itineris, donec veniat.
Hæc quidem terrestribus, multa cernens lumen habens,
Illa vero Somnum in manibus fratrem Mortis,
Nox noxia, nube tecta atra.
Ibi autem Noctis obscuræ filij domus habent,
Somnus & Mors, graves dij. neque unquam eos
Sol lucidus intuetur radiis,
Cælum scandens, nec cælitus descendens.
Horum alter quidem terramque & lata dorsa maris
Quietus percurrit & placidus hominibus.
Alterius vero ferreum quidẽ cor, æreum vero ei pectus
Crudele in præcordiis. habet autẽ quẽ primũ arripuerit
Hominum: hostis vero etiam immortalibus dijs:
Illic dei inferi in anteriore parte ædes resonantes,
Fortisque Plutonis, & gravis Proserpinæ,
Stant. Horrendus autem canis pro foribus custodit,
Sævus: artem autem malam habet. introeuntes quidem
Adulatur pariter caudaque & auribus ambabus:
Exire vero non iterum permittit denuo, sed observans

Devorat, quemcunque prenderit portas extra euntem
Fortisque Plutonis & gravis Proserpinæ.
Ibidem habitat abominanda dea immortalibus,
Horrenda Styx, filia reciprocantis Oceani,
Maxima natu. seorsim vero diis inclytas ædes incolit
Ingentibus saxis superne tectas. circum vero quaque
Columnis argenteis ad cælum firmatæ sunt.
Raro vero Thaumantis filia pedibus velox Iris,
Nuncia versatur super lata dorsa maris,
Quando lis & contentio inter deos exorta fuerit:
Et sane quisquis mentiatur cælestes domos tenentium,
Iupiter tum Irim mittit, deorum magnum iusiurandum ut ferat
E longinquo in aureo gutturnio celeberrimam aquam,
Frigidam. quæ e petra destillat alta,
Excelsa. multum vero subtus terram spaciosam
E sacro flumine fluit per noctem nigram,
Oceani cornu. decima vero pars attributa est.
Novem quidem circa terramque, & lata dorsa maris,
Vorticibus argenteis intortus in mare cadit,
Vna vero ex petra profluit, magnum damnum diis.
Quisquis periurium libens iuraverit
Immortalium, qui tenent verticem nivosi Olympi,
Iacet spiritus expers integrum per annum:
Neque ambrosiæ & nectaris accedit propius
Cibum: sed iacet non respirans, & mutus,
Stratis in lectis, malus autem veternus obtegit.
Sed postquã morbo defunctus est magnum per annum,
Alia ex alia excipit molestissima ærumna.
Novennio autem a diis relegatur sempiternis,

Neque

Ἐσθίει ὅν κε λάβησι πυλέων ἔκτοσθεν ἰόντα
Ἰφθίμου τ' Ἀΐδεω καὶ ἐπαινῆς Περσεφονείης.
Ἐνθάδε ναιετάει στυγερὴ θεὸς ἀθανάτοισι,
Δεινὴ Στὺξ, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο
Πρεσβυτάτη. νόσφιν δὲ θεῶν κλυτὰ δώματα ναίει
Μακρῇσι πέτρῃσι κατηρεφέ'· ἀμφὶ δὲ πάντη
Κίοσιν ἀργυρέοισι πρὸς οὐρανὸν ἐστήρικται.
Παῦρα δὲ Θαύμαντος θυγάτηρ πόδας ὠκέα Ἶρις,
Ἀγγελίη πωλεῖται ἐπ' εὐρέα νῶτα θαλάσσης,
Ὁππότ' ἔρις καὶ νεῖκος ἐν ἀθανάτοισιν ὄρηται.
Καί ῥ' ὅς τις ψεύδηται ὀλύμπια δώματ' ἐχόντων,
Ζεὺς δέ τε Ἶριν ἔπεμψε θεῶν μέγαν ὅρκον ἐνεῖκαι
Τηλόθεν ἐν χρυσέῃ προχόῳ πολυώνυμον ὕδωρ,
Ψυχρὸν, ὅ, τ' ἐκ πέτρης καταλείβεται ἠλιβάτοιο
Ὑψηλῆς. πολλὸν δὲ ὑπὸ χθονὸς εὐρυοδείης
Ἐξ ἱεροῦ ποταμοῖο ῥέει διὰ νύκτα μέλαιναν,
Ὠκεανοῖο κέρας. δεκάτη δ' ἐπὶ μοῖρα δέδασται.
Ἐννέα μὲν περὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
Δίνῃς ἀργυρέῃς εἰλιγμένος εἰς ἅλα πίπτει,
Ἡ δὲ μί' ἐκ πέτρης προρέει, μέγα πῆμα θεοῖσιν.
Ὅς κεν τὴν ἐπίορκον ἀπολείψας ἐπομόσσῃ
Ἀθανάτων οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,
Κεῖται νήϋτμος τετελεσμένον εἰς ἐνιαυτόν·
Οὐδέ ποτ' ἀμβροσίης καὶ νέκταρος ἔρχεται ἆσσον
Βρώσιος, ἀλλά τε κεῖται ἀνάπνευστος καὶ ἄναυδος
Στρωτοῖς ἐν λεχέεσσι, κακὸν δ' ἐπὶ κῶμα καλύπτει.
Αὐτὰρ ἐπὴν νοῦσον τελέσῃ μέγαν εἰς ἐνιαυτὸν,
Ἄλλος δ' ἐξ ἄλλου δέχεται χαλεπώτερος ἆθλος.
Ἐννάετες δὲ θεῶν ἀπομείρεται αἰὲν ἐόντων,

Οὐδέ ποτ' ἐς βουλὴν ἐπιμίσγεται οὐδ' ἐπὶ δαῖτας
Ἐννέα πάντ' ἔτεα· δεκάτῳ δ' ἐπιμίσγεται αὖτις
Εἰρέας ἀθανάτων οἳ ὀλύμπια δώματ' ἔχουσι.
Τοῖον ἄρ' ὅρκον ἔθεντο θεοὶ Στυγὸς ἄφθιτον ὕδωρ,
Ὠγύγιον. τὸ δ' ἵησι καταστυφέλου διὰ χώρου.
Ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος,
Πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος,
Ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
Ἀργαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί περ.
Ἐνθάδε μαρμάρεαί τε πύλαι, καὶ χάλκεος οὐδὸς
Ἀστεμφής, ῥίζῃσι διηνεκέεσσιν ἀρηρώς,
Αὐτοφυής. πρόσθεν δὲ, θεῶν ἔκτοσθεν ἁπάντων,
Τιτῆνες ναίουσι, πέρην χάεος ζοφεροῖο.
Αὐτὰρ ἐρισμαράγοιο Διὸς κλειτοὶ ἐπίκουροι
Δώματα ναιετάουσιν ἐπ' Ὠκεανοῖο θεμέθλοις,
Κόττος τ' ἠδὲ Γύγης. Βριάρεων γε μὲν ἠΰν ἐόντα
Γαμβρὸν ἑὸν ποίησε βαρύκτυπος Ἐννοσίγαιος.
Δῶκε δὲ Κυμοπόλειαν ὀπυίειν θυγατέρα ἥν.
Αὐτὰρ ἐπεὶ Τιτῆνας ἀπ' οὐρανοῦ ἐξέλασε Ζεὺς,
Ὁπλότατον τέκε παῖδα Τυφωέα Γαῖα πελώρη,
Ταρτάρου ἐν φιλότητι, διὰ χρυσῆν Ἀφροδίτην.
Οὗ χεῖρες μὲν ἔασιν ἐπ' ἰσχύι ἔργματ' ἔχουσαι,
Καὶ πόδες ἀκάματοι κρατεροῦ θεοῦ· ἐκ δέ οἱ ὤμων
Ἦν ἑκατὸν κεφαλαὶ ὄφιος, δεινοῖο δράκοντος,
Γλώσσῃσι δνοφερῇσι λελειχμότες, ἐκ δέ οἱ ὄσσων
Θεσπεσίης κεφαλῇσιν ὑπ' ὀφρύσι πῦρ ἀμάρυσσε·
Πασέων δ' ἐκ κεφαλέων πῦρ καίετο δερκομένοιο,
Φωναὶ δ' ἐν πάσῃσιν ἔσαν δεινῇς κεφαλῇσι

Παν-

Neque unquam ad consilium ineundum cum iis versa-
tur, neque ad epulas
Novem totis annis. decimo tandem versatur iterum
Cum cœtibus immortalium, qui cœlestes domos incolūt.
Tale itaq; iuramentum constituerunt dij, Stygis peren-
nem aquam
Antiquam istam, quæ tranat aridum locum.
Ibi autem terræ caliginosæ & Tartari obscuri,
Pontique infructuosi, & cœli stellati;
Ex ordine omnium fontes & fines sunt,
Molesti, squalidi, quos oderunt etiam dij ipsi,
Illic splendidaque portæ, & æreum limen
Immotum, radicibus longis compactum,
Sua sponte natum. ante illud vero extra omnes deos
Titanes habitant, ultra Chaos caligine obductum.
Cæterum valde tonantis Iovis inclyti auxiliarij,
Domus incolunt in Oceani fundamentis,
Cottus atq; Gyges, Briareum quippe bonum existentem,
Generum suum fecit graviter fremens Neptunus.
Dedit autē Cymopoliam, ut ducat in uxorē filiam suam.
At ubi Titanes e Cœlo expulit Iupiter,
Minimum natu peperit filium Typhoeum Terra magna,
Tartari in amore, per auream Venerem.
Cuius manus quidem sunt ob robur operibus aptæ.
Et pedes indefessi robusti dei: ex humeris vero ei
Erant centum capita serpentis horrendi draconis,
Linguis nigris lambentes. præterea ex oculis ei
Admirandis in capitibus sub superciliis ignis micabat:
Omnibus autem ex capitibus ignis flagrabat cernentis,
Voces quoque in omnibus erant horrendis capitibus,

Omnigenũ ſonitũ emittentes, ineffabilem. interdũ enim
Sonabant, ut diis intelligere liceret, interdum rurſum
Tauri valde mugientis, robore inſuperabilem vocem, ferocis:
Interdum rurſus leonis impudentem animum habentis:
Interdum rurſum catulis ſimilia, mira auditu:
Interdum vero ſtridebat, reſonabantque montes alti.
Et ſane eveniſſet res inevitabilis die illo,
Atque ipſe mortalibus & immortalibus imperaſſet,
Niſi ſtatim intellexiſſet pater hominumq; deorumque.
Graviter autem intonuit atque fortiter. circum vero terra
Horrende edidit fragorem, & cælum latum ſuperne,
Pontuſque & Oceani fluxus, & infima loca terræ.
Pedibus vero ſub immortalibus magnus contremuit Olympus
Inſurgente rege. ingemiſcebat autem tellus.
Ardor autem ab utriſque occupabat nigrum pontum,
Tonitruque, & fulguris igne ab iſto immani,
Igneorumque turbinum & fulminis ardentis.
Fervebat autem terra omnis, & cælum, atque mare.
AEſtuabant etiam circum litora, circaque & circum fluctus,
Impetu deorum: concuſsio autem ſedatu difficilis oriebatur,
Expavit autem Pluto inferis mortuis imperans,
Titaneſque ſub Tartarum detruſi, a Saturno ſeorſim existentes,
Ob inextinguibilem fremitum, & gravem conflictum,
Iupiter vero poſtquam excitavit ſuum robur, ſumpſitque arma,

Παντοίην ὄπ' ἱεῖσαι, ἀθέσφατον. ἄλλοτε μὲν γὰρ
Φθέγγονθ', ὥς τε θεοῖσι συνιέμεν, ἄλλοτε δ' αὖτε
Ταύρου ἐριβρύχεω, μένος ἄσχετον ὄσσαν, ἀγαύρου,
Ἄλλοτε δ' αὖτε λέοντος ἀναιδέα θυμὸν ἔχοντος,
Ἄλλοτε δ' αὖ σκυλάκεσσιν ἐοικότα θαύματ' ἀκοῦσαι,
Ἄλλοτε δ' αὖ ῥοίζασχ', ὑπὸ δ' ἤχεεν οὔρεα μακρά.
Καί νύ κεν ἔπλετο ἔργον ἀμήχανον ἤματι κείνῳ,
Καί κεν ὅγε θνητοῖσι καὶ ἀθανάτοισιν ἄναξεν,
Εἰ μὴ ἄρ ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Σκληρὸν δ' ἐβρόντησε καὶ ὄβριμον. ἀμφὶ δὲ γαῖα
Σμερδαλέον κονάβησε, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
Πόντος τ' Ὠκεανοῦ τε ῥοαὶ καὶ τάρταρα γαίης.
Ποσσὶ δ' ὑπ' ἀθανάτοισι μέγας πελεμίζετ' Ὄλυμπος
Ὀρνυμένοιο ἄνακτος· ἐπεστενάχιζε δὲ γαῖα.
Καῦμα δ' ὑπ' ἀμφοτέρων κάτεχε ἰοειδέα πόντον,
Βροντῆς τε στεροπῆς τε πυρὸς ἀπὸ τοῖο πελώρου,
Πρηστήρων τ' ἀνέμων τε κεραυνοῦ τε φλεγέθοντος.
Ἔζεε δὲ χθὼν πᾶσα, καὶ οὐρανὸς ἠδὲ θάλασσα·
Θύε δ' ἄρ' ἀμφ' ἀκτὰς, περί τ' ἀμφί τε κύματα μακρὰ
Ῥιπῇ ὑπ' ἀθανάτων· ἔνοσις δ' ἄσβεστος ὀρώρει.
Τρέσσ' ἀίδης δ' ἐνέροισι καταφθιμένοισιν ἀνάσσων,
Τιτῆνές θ' ὑποταρτάριοι, Κρόνον ἀμφὶς ἐόντες,
Ἀσβέστου κελάδοιο καὶ αἰνῆς δηϊοτῆτος.
Ζεὺς δ' ἐπεὶ οὖν κόρθυνεν ἑὸν μένος, εἵλετο δ' ὅπλα,

Βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνὸν,
Πλῆξεν ἀπ' οὐλύμποιο ἐπάλμενος. ἀμφὶ δὲ πάσας
Ἔπρεσε θεσπεσίας κεφαλὰς δεινοῖο πελώρου.
Αὐτὰρ ἐπεὶ δή μιν δάμασε πληγῇσιν ἱμάσσας,
Ἤριπε γυιωθεὶς, στενάχιζε δὲ γαῖα πελώρη.
Φλὸξ δὲ κεραυνωθέντος ἀπέσσυτο τοῖο ἄνακτος,
Οὔρεος ἐν βήσσῃσιν ἀϊδνῆς παιπαλοέσσης,
Πληγέντος. πολλὴ δὲ πελώρη καίετο γαῖα,
Ἀτμῇ θεσπεσίῃ, καὶ ἐτήκετο κασσίτερος ὡς,
Τέχνῃ ὑπ' αἰζηῶν ὑπό τ' εὐτρήτου χοάνοιο
Θαλφθεὶς, ἠὲ σίδηρος, ὅπερ κρατερώτατός ἐστιν,
Οὔρεος ἐν βήσσῃσι δαμαζόμενος πυρὶ κηλέῳ,
Τήκεται ἐν χθονὶ δίῃ, ὑφ' Ἡφαίστου παλάμῃσιν·
Ὣς ἄρα τήκετο γαῖα σέλᾳ πυρὸς αἰθομένοιο.
Ῥίψε δέ μιν θυμῷ ἀκάχων ἐς Τάρταρον εὐρύν.
Ἐκ δὲ Τυφωέος ἔστ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
Νόσφι Νότου, Βορέω τε, καὶ ἀργέστεω Ζεφύροιο.
Οἵ γε μὲν ἐκ θεόφιν γενεῇ, θνητοῖς μέγ' ὄνειαρ.
Αἱ δ' ἄλλαι μαψ' αὖραι ἐπιπνείουσι θάλασσαν,
Αἳ δή τοι πίπτουσαι ἐς ἠεροειδέα πόντον,
Πῆμα μέγα θνητοῖσι, κακῇ θύουσιν ἀέλλῃ·
Ἄλλοτε δ' ἄλλαι ἄεισι, διασκιδνᾶσί τε νῆας,
Ναύτας τε φθείρουσι· κακοῦ δ' οὐ γίνεται ἀλκὴ
Ἀνδράσιν οἳ κείνοισι συναντῶσιν κατὰ πόντον.
Αἱ δ' αὖ καὶ κατὰ γαῖαν ἀπείριτον ἀνθεμόεσσαν
Ἔργ' ἐρατὰ φθείρουσι χαμαιγενέων ἀνθρώπων,
Πιμπλεῖσαι κόνιός τε καὶ ἀργαλέου κολοσυρτοῦ.
Αὐτὰρ ἐπεί ῥα πόνον μάκαρες θεοὶ ἐξετέλεσσαν,
Τιτήνεσσι δὲ τιμάων κρίναντο βίηφι,

Δή

Tonitruque, fulgurque, & coruſcans fulmen,
Percuſſit ab Olympo inſiliens, circum vero omnia
Combuſſit ingentia capita ſævi portenti.
Cæterum ubi ipſum vicit ictibus percutiens,
Cecidit mutilatus: ingemiſcebat autem terra vaſta.
Flamma autem fulmine icto proſiliebat a rege,
Montis in ſaltibus opacis aſperis,
Percuſſi. multa autem ac vaſta ardebat terra,
Ardore ingenti, & liqueſcebat ſtanni inſtar.
Quod arte iuvenum, & a fabrefacto catino
Calefactum, & ferrum, quod ſolidiſſimum eſt,
Montis in ſaltibus, victũq; ab igne quod omnia comburit,
Liqueſcit in terra divina ſub Vulcani manibus:
Sic ſane liqueſcebat terra fulgore ignis ardentis.
Abiecit autẽ ipſum animo mæſtus, in Tartarum latum.
Ex Typhoeo autẽ eſt ventorum vis humide flantium:
Excepto Noto, Boreaque, & celeri Zephyro.
Qui ſane ex diis ſunt nativitate, hominibus magna utilitas.
Aſt alij ſine uſu venti inſpirant mare,
Qui utique incidentes in obſcurum pontum,
Clades magna hominibus gravi rapiuntur turbine,
Nuncque hi. nunc illi flant, diſſipantque naves,
Nautaſque perdunt. mali autem non eſt remedium
Viris qui illis occurrerint in ponto.
Iidem rurſum per terram immenſam floribus ornatam
Opera iucunda corrumpunt humo prognatorum hominũ,
Replentes pulvereque & moleſto palearum ſtrepitu.
Sed poſtquam ſane laborem dij beati perfecerunt,
Cum Titanibus autem pro honore pugnarunt vi,

Iam tum iubebant regnare atque imperare,
Ex Terræ consilio Olympium late cernentem Iovem,
Immortalibus. Hic vero inter illos rite distribuit munia.
Iupiter autem deorum rex primam uxorem suam fecit Metin,
Plurimum ex diis edoctam, & mortalibus hominibus.
Sed cum iam esset deam cæsiis oculis Minervam
Paritura, tum demum dolis animo decepto,
Blandis sermonibus, in suam condidit alvum,
Telluris consiliis, & Cæli stellati.
Sic enim ei consuluerunt, ne regium honorem
Alius haberet Iovis loco, deorum sempiternorum.
Ex hac enim in fatis erat prudentes liberos nasci.
Primam quidem, virginem cæsiis oculis apud Tritonem genitam,
Par habentem patri robur, & prudens consilium:
Cæterum deinde sane filium deorum regem & virorum
Erat paritura, magnum animum habentem:
Sed illam sane Iupiter ante in suum condidit ventrem,
Vt nempe ei indicaret dea bonumque malumque.
Postea duxit splendidam Themin, quæ peperit Horas,
Eunomiamque, Dicenque, & Irenen florentem:
Quæ opera matura faciunt mortalibus hominibus:
Parcasque, quibus maximum honorem dedit prudens Iupiter,
Clothoque, Lachesinque, & Atropon: quæ dant
Mortalibus hominibus habere bonumque malumque.
Tres vero ei Eurynome Gratias peperit pulchras genas habentes,
Oceani filia, peroptabilem formam habens,

Aglaiam

Δή ῥα τότ' ὤτρυνον βασιλευέμεν ἠδὲ ἀνάσσειν,
Γαίης φραδμοσύνῃσιν, ὀλύμπιον εὐρύοπα Ζῆν'
Ἀθανάτων. ὁ δὲ τοῖσιν εὖ διεδάσσατο τιμάς.
Ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο Μῆτιν,
Πλεῖστα θεῶν εἰδυῖαν ἰδὲ θνητῶν ἀνθρώπων.
Ἀλλ' ὅτε δή ῥ' ἤμελλε θεὰν γλαυκῶπιν Ἀθήνην
Τέξεσθαι, τότ' ἔπειτα δόλῳ φρένας ἐξαπατήσας
Αἱμυλίοισι λόγοισιν, ἑὴν ἐσκάτθετο νηδύν,
Γαίης φραδμοσύνῃσι καὶ Οὐρανοῦ ἀστερόεντος.
Τὼς γάρ οἱ ἐφρασάτην, ἵνα μὴ βασιληΐδα τιμὴν
Ἄλλος ἔχῃ, Διὸς ἀντὶ, θεῶν αἰειγενετάων.
Ἐκ γὰρ τῆς εἵμαρτο περίφρονα τέκνα γενέσθαι.
Πρώτην γὰρ κούρην γλαυκώπιδα Τριτογένειαν
Ἶσον ἔχουσαν πατρὶ μένος καὶ ἐπίφρονα βουλήν·
Αὐτὰρ ἔπειτ' ἄρα παῖδα θεῶν βασιλῆα καὶ ἀνδρῶν
Ἤμελλεν τέξεσθαι, ὑπέρβιον ἦτορ ἔχοντα·
Ἀλλ' ἄρα μιν Ζεὺς πρόσθεν ἑὴν ἐγκάτθετο νηδύν,
Ὡς δή οἱ φράσσαιτο θεὰ ἀγαθόν τε κακόν τε.
Δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥρας,
Εὐνομίην τε, Δίκην τε, καὶ Εἰρήνην τεθαλυῖαν·
Αἵτ' ἔργ' ὡραίουσι καταθνητοῖσι βροτοῖσι·
Μοίρας θ', ἧς πλείστην τιμὴν πόρε μητίετα Ζεύς,
Κλωθώ τε, Λάχεσίν τε καὶ Ἄτροπον· αἵ τε διδοῦσι
Θνητοῖς ἀνθρώποισιν ἔχειν ἀγαθόν τε κακόν τε.
Τρεῖς δέ οἱ Εὐρυνόμη Χάριτας τέκε καλλιπαρῄους,
Ὠκεανοῦ κούρη πολυήρατον εἶδος ἔχουσα,

Ἀγλαΐην καὶ Εὐφροσύνην, Θαλίην τ' ἐρατεινήν.
Τῶν καὶ ἀπὸ βλεφάρων ἔρος εἴβετο δερκομενάων
Λυσιμελής· καλὸν δέ ὑπ' ὀφρύσι δερκιόωντ'.
Αὐτὰρ ὁ Δήμητρος πολυφόρβης ἐς λέχος ἦλθεν,
Ἣ τέκε Περσεφόνην λευκώλενον. ἣν Ἀϊδωνεὺς
Ἥρπασεν ἧς παρὰ μητρός· ἔδωκε δὲ μητίετα Ζεύς.
Μνημοσύνης δ' ἐξαῦτις ἐράσατο καλλικόμοιο,
Ἐξ ἧς αἱ Μοῦσαι χρυσάμπυκες ἐξεγένοντο
Ἐννέα, τῇσιν ἅδον θαλίαι καὶ τέρψις ἀοιδῆς.
Λητὼ δ' Ἀπόλλωνα, καὶ Ἄρτεμιν ἰοχέαιραν,
Ἱμερόεντα γόνον περὶ πάντων οὐρανιώνων,
Γείνατ' ἄρ', αἰγιόχοιο Διὸς φιλότητι μιγεῖσα.
Λοισθοτάτην δ' Ἥρην θαλερὴν ποιήσατ' ἄκοιτιν.
Ἡ δ' Ἥβην, καὶ Ἄρηα καὶ Εἰλείθυαν ἔτικτε,
Μιχθεῖσ' ἐν φιλότητι θεῶν βασιλῆϊ καὶ ἀνδρῶν.
Αὐτὸς δ' ἐκ κεφαλῆς γλαυκώπιδα Τριτογένειαν,
Δεινήν, ἐγρεκύδοιμον, ἀγέστρατον, ἀτρυτώνην,
Πότνιαν; ᾗ κέλαδοί τε ἅδον πόλεμοί τε, μάχαι τε.
Ἥρη δ' Ἥφαιστον κλυτὸν ἐν φιλότητι μιγεῖσα
Γείνατο· καὶ ζαμένησε, καὶ ἤρισεν ᾧ παρακοίτῃ·
Ἐκ πάντων τέχνῃσι κεκασμένον οὐρανιώνων.
Ἐκ δ' Ἀμφιτρίτης καὶ ἐρικτύπου Ἐννοσιγαίου,
Τρίτων εὐρυβίης γένετο μέγας· ὅς τε θαλάσσης
Πυθμέν' ἔχων, παρὰ μητρὶ φίλῃ καὶ πατρὶ ἄνακτι
Ναίει χρύσεα δῶ, δεινὸς θεός. αὐτὰρ Ἄρηϊ
Ῥινοτόρῳ Κυθέρεια Φόβον καὶ Δεῖμον ἔτικτεν
Δεινοὺς, οἵ τ' ἀνδρῶν πυκινὰς κλονέουσι φάλαγγας
Ἐν πολέμῳ κρυόεντι, σὺν Ἄρηϊ πτολιπόρθῳ·
Ἁρμονίην θ', ἣν Κάδμος ὑπέρθυμος θέτ' ἄκοιτιν.

Ζηνὶ

Aglaiam & Euphrosynen, Thaliamque amabilem,
Quarum & palpebris amor destillat contuentium
Solvens membra: iucundũ vero sub superciliis aspiciunt.
Porro hic Cereris multa nutrientis ad lectum venit,
Quæ peperit Proserpinam pulchris ulnis, quam Pluto
Rapuit sua a matre: dedit autem consiliarius Iupiter.
Mnemosynem vero deinceps amavit pulchricomam,
Ex qua Musæ aurea mitra revinctæ natæ sunt
Novem, quibus placent convivia, & oblectatio cantus.
Latona autẽ Apollinem & Dianam sagittis gaudentem,
Desiderabilem prolem præ omnibus cœlicolis,
Peperit sane, AEgiochi Iovis amori mixta.
Postremam vero Iunonem floridam duxit uxorem.
Hæc autem Heben, Martem & Lucinam peperit,
Mixta amore deorum regi & hominum.
Ipse vero ex capite, cæsiis oculis præditam Tritogeniam,
Acrem, tumultũ excitantẽ, ducem exercitus, indomitã,
Venerandam: cui clamoresq; placuerunt, bellaq; pugnæq;.
Iuno autem Vulcanum inclytum, amori indulgens,
Peperit (& vires intendit, & contendit cum suo marito)
Præ omnibus, artibus ornatum, cœlicolis.
Ex Amphitrite autem & gravicrepo Neptuno,
Triton late potens natus est magnus: qui maris
Fundum tenens, apud matrem charam & patrẽ regem
Incolit aureas ædes magnus deus. sed Marti
Clypeos dissecanti, Venus Timorem & Metum peperit,
Graves, qui virorum densas turbent phalanges
In bello horrido, una cum Marte urbes devastante,
Et Harmoniam quam Cadmus magnanimus duxit uxorem.

Iovi vero Atlantis filia Maia peperit gloriosum Mercu-
Praconē deorum, sacrum lectum conscendens. (rium,
Cadmi filia vero ei Semele peperit clarum filium,
Rem cum eo habens, Bacchum hilarem,
Immortalem mortalis, nunc vero ambo dij sunt.
Alcmene vero peperit vim Herculanam,
Mixta in amore Iovis nubicogi. (dicans
Aglaiam vero Vulcanus percelebris, utroque pede clau-
Minimam natu e Gratiis, floridam duxit uxorem.
Sed aureo crine conspicuus Bacchus flavam Ariadnen,
Filiam Minois, floridam fecit coniugem:
Hanc vero ei immortalem expertemque senij fecit Sa-
turnius. (lius,
Heben autem Alcmenæ pulchros talos habentis fortis fi-
Vis Herculis, peractis luctuosis certaminibus, (tis
Filiam Iovis magni, & Iunonis aureis calceamētis uten-
Pudicam duxit uxorem in Olympo nivoso:
Felix, qui magno facinore inter deos confecto,
Habitat illæsus & expers senij omnibus diebus.
Soli autem indefesso peperit inclyta Oceanis
Perseis, Circenque & AEtem regem.
AEtes autem filius lucem hominibus dantis Solis,
Filiam Oceani perfecti fluvij
Duxit, deorū ex consiliis, Idyiam pulchris genis præditā.
Hæc autē ei Medeam pulchros talos habentem in amore
Peperit, subacta per auream Venerem.
Vos quidem nunc valete, cælestes domos tenentes,
Insulæque & continentes terræ, & salsus intus Pontus.
Nunc autem dearum cætum cantate blandiloquæ
Musæ Olympiades, filiæ Iovis AEgiochi,

Ζῆνι δ᾽ ἄρ᾽ Ἀτλαντὶς Μαίη τέκε κύδιμον Ἑρμῆν
Κήρυκ᾽ ἀθανάτων, ἱερὸν λέχος εἰσαναβᾶσα.
Καδμείη δ᾽ ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱὸν,
Μιχθεῖσ᾽ ἐν φιλότητι, Διώνυσον πολυγηθέα,
Ἀθάνατον θνητή, νῦν δ᾽ ἀμφότεροι θεοί εἰσιν.
Ἀλκμήνη δ᾽ ἄρ᾽ ἔτικτε βίην Ἡρακληείην,
Μιχθεῖσ᾽ ἐν φιλότητι Διὸς νεφεληγερέταο,
Ἀγλαΐην δ᾽ Ἥφαιστος ἀγακλυτὸς ἀμφιγυήεις,
Ὁπλοτάτην Χαρίτων, θαλερὴν ποιήσατ᾽ ἄκοι-
τιν.
Χρυσοκόμης δὲ Διώνυσος ξανθὴν Ἀριάδνην,
Κούρην Μίνωος, θαλερὴν ποιήσατ᾽ ἄκοιτιν.
Τὴν δέ οἱ ἀθάνατον καὶ ἀγήρω θῆκε Κρονίων.
Ἥβην δ᾽ Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς,
Ἶς Ἡρακλῆος τελέσας στονόεντας ἀέθλους,
Παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου,
Αἰδοίην θέτ᾽ ἄκοιτιν, ἐν Οὐλύμπῳ νιφόεντι·
Ὄλβιος, ὃς μέγα ἔργον ἐν ἀθανάτοισιν ἀνύσσας,
Ναίει ἀπήμαντος καὶ ἀγήραος ἤματα πάντα.
Ἠελίῳ δ᾽ ἀκάμαντι τέκε κλυτὴ Ὠκεανίνη
Περσηῒς Κίρκην τε, καὶ Αἰήτην βασιλῆα.
Αἰήτης δ᾽ υἱὸς φαεσιμβρότου Ἠελίοιο,
Κούρην Ὠκεανοῖο τελήεντος ποταμοῖο
Γῆμε θεῶν βουλῆσιν, Ἰδυῖαν καλλιπάρῃον.
Ἡ δέ οἱ Μήδειαν εὔσφυρον ἐν φιλότητι
Γείναθ᾽ ὑποδμηθεῖσα διὰ χρυσῆν Ἀφροδίτην.
Ὑμεῖς μὲν νῦν χαίρετ᾽ ὀλύμπια δώματ᾽ ἔχοντες,
Νῆσοί τ᾽, ἤπειροί τε, καὶ ἁλμυρὸς ἔνδοθι πόντος.
Νῦν δὲ θεάων φῦλον ἀείσατε ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο,

Ὅσσαι δὴ θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
Ἀθάναται, γείναντο θεοῖς ἐπιείκελα τέκνα,
Δημήτηρ μὲν Πλοῦτον ἐγείνατο, δῖα θεάων,
Ἰασίῳ ἥρωϊ μιγεῖσ' ἐρατῇ φιλότητι,
Νειῷ ἐνὶ τριπόλῳ, Κρήτης ἐν πίονι δήμῳ,
Ἐσθλόν· ὃς εἶσ' ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης,
Πᾶσαν· τῷ δὲ τυχόντι, καὶ οὗ κ' ἐς χεῖρας ἵκηται,
Τὸν δ' ἀφνειὸν ἔθηκε, πολὺν τέ οἱ ὤπασεν ὄλβον.
Κάδμῳ δ' Ἁρμονίη θυγάτηρ χρυσῆς Ἀφροδίτης,
Ἰνὼ καὶ Σεμέλην, καὶ Ἀγαυὴν καλλιπάρῃον,
Αὐτονόην θ', ἣν γῆμεν Ἀρισταῖος βαθυχαίτης,
Γείνατο, καὶ Πολύδωρον ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.
Κούρη δ' Ὠκεανοῖο Χρυσάορι καρτεροθύμῳ
Μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης,
Καλλιρόη τέκε παῖδα βροτῶν κάρτιστον ἁπάντων,
Γηρυονῆα· τὸν κτεῖνε βίη Ἡρακληείη,
Βοῶν ἕνεκ' εἰλιπόδων ἀμφιρρύτῳ εἰν Ἐρυθείῃ.
Τιθωνῷ δ' Ἠὼς τέκε Μέμνονα χαλκοκορυστὴν,
Αἰθιόπων βασιλῆα, καὶ Ἠμαθίωνα ἄνακτα.
Αὐτάρ τοι Κεφάλῳ φυτήσατο φαίδιμον υἱὸν,
Ἴφθιμον Φαέθοντα θεοῖς ἐπιείκελον ἄνδρα.
Τόν ῥα νέον τέρεν ἄνθος ἔχοντ' ἐρικυδέος ἥβης
Παῖδ' ἀταλὰ φρονέοντα φιλομμειδὴς Ἀφροδίτη
Ὦρτ' ἀνερειψαμένη, καί μιν ζαθέοις ἐνὶ νηοῖς,
Νηοπόλον νύχιον ποιήσατο, δαίμονα δῖον.
Κούρην δ' Αἰήταο διοτρεφέος βασιλῆος
Αἰσονίδης, βουλῇσι θεῶν αἰειγενετάων
Ἦγε παρ' Αἰήτου, τελέσας στονόεντας ἀέθλους,

Quæcunque mortales apud viros cubantes,
Immortales, pepererunt diis similem prolem.
Ceres quidem Plutum genuit, præstantissima dearum
Iasio heroi mixta iucundo amore,
Novali inter proscisso, Cretæ in pingui populo,
Bonum: qui vadit super terram, & lata dorsa maris,
Omnem: qui vero obviam fuerit, & cuius ad manus venerit,
Illum locupletem fecit, multamq; ei præbuit fœlicitatē.
Cadmo præterea Harmonia filia aureæ Veneris,
Ino & Semelen, & Agaven pulchras genas habentem,
Autonoenq;, quā duxit Aristæus densa cæsarie præditus,
Peperit, & Polydorum, mœniis pulchre cinctis in Thebis.
Mixta amore abundantis auro Veneris.
Callirhoe peperit filium mortalium præstantissimum omnium
Geryonem, quem interfecit vis Herculana,
Boves propter flexipedes circumflua in Erythea.
Tithono vero Aurora peperit Memnona ærea galea munitū,
Æthiopum regem, & Emathionem regem.
Verum Cephalo peperit inclytum filium,
Fortem Phaethontem, diis similem virum,
Quem sane iuvenem tenerum florem habentem gloriosæ pubertatis,
Puerum iuvenilia sapientem, amans risus Venus,
Incitavit, abripiens, & ipsum in templis
Æditum nocturnum fecit, dæmonem divinum.
Filiam vero Æetæ a Iove nutriti regis
Æsonides, voluntate deorum sempiternorum
Abduxit ab Æeta, peractis suspiriosis certaminibus,

Quæ multa imperabat magnus rex superbus,
Iniurius Pelias, & impius, fortium facinorum patrator.
Quibus peractis ad Iolcum rediit, multa perpessus,
Veloci in naue vehens nigris oculis præditam puellam,
Æsonides, & ipsam floridam fecit uxorem.
Et sane hæc domita ab Iasone pastore populorum,
Medeum peperit filium, quē in mōtibus educabat Chiron
Philyrides: magni vero Iovis voluntas perficiebatur.
Cæterun Nerei filiæ marini senis,
Phacū quidem Psamathe peperit, præstantissima dearum
Æaci in amore, per auream Venerem.
A Peleo autē subacta dea Thetis argenteos pedes habens,
Peperit Achillem prorumpentem per viros, leonis animo
præditum.
Æneam porro peperit pulchre coronata Cytherea,
Anchisæ heroi mixta iucundo amore,
Idæ in verticibus, habentis multos anfractus, sylvosæ.
Circe vero, Solis filia, filij Hyperionis,
Peperit Vlyssis ærumnosi in amore,
Agrium, atque Latinum inculpatumque, fortemque,
Qui sane valde procul in recessu insularum sacrarum,
Omnibus Tyrrhenis valde inclytis imperabant.
Nausithoum vero Vlyssi Calypso: excellentissima dearum
Peperit, Nausinoumque, mixta grato amore.
Hæ quidem mortales apud viros cubantes
Immortales pepererunt diis pares filios.
Nunc vero fœminarum agmen cantate suaviloquæ
Musæ Olympiades, filiæ Iovis Ægiochi.

Finis Theogoniæ Hesiodi.

Τοὺς πολλοὺς ἐπέτελλε μέγας βασιλεὺς ὑπερήνωρ,
Ὑβριστὴς Πελίης, καὶ ἀτάσθαλος, ὀβριμοεργός.
Τοὺς τελέσας ἐς Ἰωλκὸν ἀφίκετο, πολλὰ μογήσας,
Ὠκείης ἐπὶ νηὸς ἄγων ἑλικώπιδα κούρην,
Αἰσονίδης. καί μιν θαλερὴν ποιήσατ' ἄκοιτιν.
Καί ῥ' ἥγε δμηθεῖσ' ὑπ' Ἰήσονι ποιμένι λαῶν,
Μήδειον τέκε παῖδα, τὸν οὔρεσιν ἔτρεφε Χείρων
Φιλλυρίδης· μεγάλου δὲ Διὸς νόος ἐξετελεῖτο.
Αὐτὰρ Νηρῆος κοῦραι ἁλίοιο γέροντος,
Ἤτοι μὲν Φῶκον Ψαμάθη τέκε δῖα θεάων,
Αἰακοῦ ἐν φιλότητι, διὰ χρυσῆν Ἀφροδίτην.
Πηλεῖ δὲ δμηθεῖσα θεὰ Θέτις ἀργυρόπεζα,
Γείνατ' Ἀχιλλῆα ῥηξήνορα, θυμολέοντα.
Αἰνείαν ἄρ' ἔτικτεν ἐϋστέφανος Κυθέρεια,
Ἀγχίσῃ ἥρωϊ μιγεῖσ' ἐρατῇ φιλότητι,
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ὑληέσσης.
Κίρκη δ' Ἠελίου θυγάτηρ Ὑπεριονίδαο,
Γείνατ' Ὀδυσσῆος ταλασίφρονος ἐν φιλότητι,
Ἄγριον, ἠδὲ Λατῖνον ἀμύμονά τε, κρατερόν τε,
Οἳ δή τοι μάλα τῆλε μυχῷ νήσων ἱεράων,
Πᾶσιν Τυρσηνοῖσιν ἀγακλυτοῖσιν ἄνασσον.
Ναυσίθοον δ' Ὀδυσῆϊ Καλυψὼ δῖα θεάων
Γείνατο, Ναυσίνοόν τε, μιγεῖσ' ἐρατῇ φιλότητι.
    Αὗται μὲν θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι,
Ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
Νῦν δὲ γυναικῶν φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.

Τέλος τῆς Ἡσιόδου Θεογονίας.

ΗΣΙΟΔΟΥ ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

HESIODI FRAGMENTA.

Ex Eustathio.

Οὐρανίη δ' ἄρ' ἔτικτε Λίνον πολυήρατον υἱόν,
Ὃν δὴ ὅσοι βροτοί εἰσιν ἀοιδοὶ καὶ κιθαρισταὶ
Πάντες μὲν θρηνοῦσιν ἐν εἰλαπίναις τε χοροῖς τε
Ἀρχόμενοι δὲ Λίνον καὶ λήγοντες καλέουσι.

Ex eodem.

Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέεν, οὐδὲ κατέκλα·
Ἀλλ' ἐπὶ πυραμίνων ἀθέρων δρομάεσκε πόδεσσι.

Ex eodem.

—— οὕνεκα Νύμφην
Εὐράμενος Ἴλεων μίχθη ἐρατῇ φιλότητι.

Ex eodem.

Ἐν δὴ Ὑρίῃ Βοιωτίῃ ἔτρεφε κούρην.

Ex eodem.

Καὶ γάρ σφιν κεφαλῆφι κατὰ κρύος αἰνὸν ἔχευεν·
Ἀλφὸς γὰρ χρόα πάντα κατέσχεθεν· ἐκ δέ νυ χαῖται
Ἔρρεον ἐκ κεφαλέων, ψίλωτο δὲ καλὰ κάρηνα.

Ex eodem.

Ὅστε Λιλαίηθεν προχέει καλίρροον ὕδωρ.

Ex eodem.

Τηλεμάχῳ δ' ἄρ' ἔτικτεν ἐΰζωνος Πολυκάστη
Νέστορος ὁπλοτάτη κούρη Νηληϊάδαο
Περσέπολιν μιχθεῖσα διὰ χρυσῆν Ἀφροδίτην.

Ex Strabone.

Καὶ κούρην Ἀράβου, τὴν Ἑρμάων ἀκάκητα
Γείνατο, καὶ Θρονίη κούρη Βήλοιο ἄνακτος.

Ex eodem.

Υἱεῖς ἐξεγένοντο Λυκάονος ἀντιθέοιο,
Ὅν ποτε τίκτε Πελασγός.

Ex eodem.

Ἤτοι γὰρ Λοκρὸς Λελέγων ἡγήσατο λαῶν,
Τοὺς ῥά ποτε Κρονίδης Ζεὺς ἄφθιτα μήδεα εἰδὼς
Λεκτοὺς ἐκ γαίης Ἀλέας πόρε Δευκαλίωνι.

Ex eodem.

Ὤκεε δ' Ὠλενίην πέτρην ποταμοῖο παρ' ὄχθαις
Εὐρέος Πείροιο.

Ex eodem.

Ἐξ ὧν οὔρειαι νύμφαι θεαὶ ἐξεγένοντο,
Καὶ γένος οὐτιδανῶν Σατύρων ἀμηχανοεργῶν,
Κουρῆτές τε θεοὶ, φιλοπαίγμονες ὀρχηστῆρες.

Ex eodem.

Θαῦμά μ' ἔχει κατὰ θυμὸν, ὅσους ἐρινεὸς ὀλύνθους
Οὗτος ἔχει, μικρός περ ἐὼν, εἴποις ἂν ἀριθμόν.

Respon-

Responsio ex eodem.

Μυρίοι εἰσὶν ἀριθμὸν, ἀτὰρ μέτρον γε μέδιμνος·
Εἷς δὲ περισσεύει, τὸν ἐπενθέμεν οὐκ ἐδύνασο.
Ὣς φάτο, καί σφιν ἀριθμὸς ἐτήτυμος εἴδετο μέτρου,
Καὶ τότε δὴ Κάλχανθ' ὕπνος θανάτοιο κάλυψε.

Ex eodem.

Ὃς παρὰ Πανοπίδα ······ Γληχῶνά τ' ἐρυμνὴν,
Καί τε δι' Ὀρχομενοῦ εἰλιγμένος εἶσι, δράκων ὥς.

Ex eodem.

Γλακτοφάγων εἰς αἶαν ἀπήναις οἰκί' ἐχόντων.

Ex eodem.

Αἰθίοπας Λίγυάς τ', ἠδὲ Σκύθας ἱππημολγούς.

Ex eodem.

Δωδώνην φηγόν τε Πελασγῶν ἕδρανον ἦεν.

Apud eundem, ἐκ τῶν Ἠοίων.

Ἢ οἵη διδύμους ἱεροὺς ναίουσα κολωνοὺς
Δωτίῳ ἐν πεδίῳ πολυβότρυος ἀντ' Ἀμύροιο
Νίψατο Βοιβιάδος λίμνης πόδα παρθένος ἀδμής.

Ex Pausania.

Ὕηττος δὲ Μόλυρον Ἀρίσβαντος φίλον υἱὸν
Κτείνας ἐν μεγάροις εὐνῆς ἕνεχ' ἧς ἀλόχοιο,
Οἶκον ἀποπρολιπὼν φεῦγ' Ἄργεος ἱπποβότοιο.
Ἷξεν δ' Ὀρχομενὸν Μινυήιον· καί μιν ὅγ' Ἥρως
Δέξατο, καὶ κτεάνων μοῖραν πόρεν, ὡς ἐπιεικές.

Ex eodem.

Φύλας δ' ὤπυιεν κούρην κλειτοῦ Ἰολάου

Ἀςεροφίλην· τὴν δ᾽ εἶδος ὀλυμπιάδεσσιν ὁμοίη.
Ἡ δέ οἱ · · · · · · υἱὸν ἐνὶ μεγάροισιν ἔτικτεν,
Θηρώτ᾽ εὐειδῆ ἰκέλην φαέεσσι σελήνης.
Θηρὼ δ᾽ Ἀπόλλωνος ἐν ἀγκοίνῃσι πεσοῦσα
Γείνατο Χείρωνος κρατερὸν μένος ἱπποδάμοιο.

Ex Scholiaste Apollonij.

Δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν,
Νέστωρ τε Χρόμιός τε, Περικλύμενός τ᾽ ἀγέρωχος
Ὄλβιος, ᾧ πόρε δῶρα Ποσειδάων ἐνοσίχθων
Παντοῖ᾽ ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φάνεσκεν
Αἰετός· ἄλλοτε δ᾽ αὖτε πέλεσκετο θαῦμα ἰδέσθαι
Μύρμηξ· ἄλλοτε δ᾽ αὖτε μελισσέων ἀγλαὰ φῦλα
Ἄλλοτε δεινὸς ὄφις καὶ ἀμείλιχος. εἶχε δὲ δῶρα
Παντοῖ᾽ οὐκ ὀνομαστά, τά μιν καὶ ἔπειτα δόλωσε
Βουλῇ Ἀθηναίης.

Ex eodem.

Θεστάμενος γενεὴν Κλεαδαίμου κυδαλίμοιο.

Ex eodem.

Εὖθ᾽ οἵγ᾽ εὐχέσθην * Αἰνήιον ὑψιμέδοντα.

Ex eodem.

Αἰήτης δ᾽ υἱὸς φαεσιμβρότου ἠελίοιο.

Ex eodem.

Αὐτὸς δ᾽ ἐν πλήσμῃσι διιπετέος ποταμοῖο.

Ex Scholiaste Pindari & Lycophronis.
ἐν τῇ ἡρωϊκῇ γενεαλογίᾳ.

Ἕλληνες δ᾽ ἐγένοντο θεμιστοπόλοι βασιλῆες,

Χῶρός τε Ξοῦθός τε καὶ Αἴολος ἱππιοχάρμης.
Αἰολίδαι δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες
Κρηθεὺς ἠδ' Ἀθάμας καὶ Σίσυφος αἰολομήτης,
Σαλμωνεὺς ἄδικος, καὶ ὑπέρθυμος περὶ κηρί.

Ex eodem Scholiaste Pindari.

Τῇ μὲν ἄρ' ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτὸς
Πυθὼ ἐς ἠγαθέην, καὶ ἔφρασεν ἔργ' ἀΐδηλα,
Φοίβῳ ἀκερσεκόμῃ, ὅτι Ἴσχυς γῆμε Κόρωνιν
Εἰλατίδης Φλεγύαο διογνήτοιο θύγατρα.

Ex eodem.

Τὴν δ' Ἀμαρυγκείδης Ἱππόστρατος ὄζος Ἄρηος
Φυκτέος ἀγλαὸς υἱὸς Ἐπειῶν ὄρχαμος ἀνδρῶν.

Ex eodem.

Ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
Αὐτὸν μὲν σχέσθαι. κρύψαι δ' ἀδόκητον * μάχαιραν,
Καλήν, ἥν οἱ ἔτευξε περικλυτὸς ἀμφιγυήεις.
Ὡς τὴν μαστεύων οἶος κατὰ Πήλιον αἰπὺ
Αἶψ' ὑπὸ Κενταύροισιν ὀρεσκώοισι δαμείη.

Ex eodem.

Αἴσων, ὃς τέκεθ' υἱὸν Ἰάσονα ποιμένα λαῶν,
Ὃν Χείρων θρέψεν ἐνὶ Πηλίῳ ὑλήεντι.

Ex eodem. ἐν ὑποθήκαις.

Εὖ νύ τοι τάδ' ἕκαστα μετάλλα * ἀειγνύετησι.

Ex eodem.

Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ
Μέλπομεν ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδὴν
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ.

Ex eodem. ἐκ τῶν Ἠοίων.

Ἢ οἵη Φθίη Χαρίτων ἄπο κάλλος ἔχουσα
Πηνειοῦ παρ' ὕδωρ καλὴ ναίεσκε Κυρήνη.

Ex eodem. ex iisdem.

Ἢ οἵη Ὑρίη πυκινόφρων Μυκιονίκη,
Ἣ τέκεν Εὔφημον Γαιηόχῳ ἐννοσιγαίῳ,
Μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης.

Ex eodem.

Ἡ δ' ὑποκυσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην·
Αὐτὰρ ἐπεί ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον,
Μοῦνος ἐὼν ἤσχαλλε πατὴρ ἀνδρῶν τε θεῶν τε
Ὅσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου,
Τοὺς ἄνδρας ποίησε, βαθυζώνους τε γυναῖκας,
Οἳ δή τοι, πρῶτον ζεῦξαν νέας ἀμφιελίσσας,
Πρῶτοι δ' ἱστία θέντο νεὼς κυανοπρῴροιο.

Ex Scholiaste Sophoclis.

Ἔστι τις Ἐλλοπίη πολυλήϊος ἠδ' εὐλείμων,
Ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν·
Ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες, πολυβοῦται
Πολλοὶ, ἀπείρεσιοι, φῦλα θνητῶν ἀνθρώπων,
Ἔνθα γε Δωδώνη τις ἐπ' ἐσχατιῇ πεπόλισται.
Τὴν δὲ Ζεὺς ἐφίλησε, καὶ ὃν χρηστήριον εἶναι
Τίμιον ἀνθρώποις, ναῖον δ' ἐνὶ πυθμένι φηγοῦ.
Ἔνθεν ἐπιχθόνιοι μαντεύματα πάντα φέρονται.
Ὃς δὴ κεῖθι μολὼν θεὸν ἄμβροτον ἐξερεείνῃ·
Δῶρα φέρων ἔλθησι σὺν οἰωνοῖς ἀγαθοῖσιν.

Ex eodem.

Ἣ τέκεθ' Ἑρμιόνην δουρικλυτῷ Μενελάῳ,
Ὁπλότατον δ' ἔτεκεν Νικόστρατον ὄζον Ἄρηος.

Ex

Ex eodem.

Ἵκετο δ' εἰς Κρείοντά τε καὶ Ἡνιόχην.

Ex AEschyli Scholiaste.

Ἡ δ' ὑποκυσαμένη καλλίζωνος Στρατονίκη
Εὔρυτον ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν·
Τοῦ δ' υἱεῖς τ' ἐγένοντο Δηΐων τε Κλυτίος τε,
Τοξεύς τ' ἀντίθεος, ἠδ' Ἴφιτος ὄζος Ἄρηος.
Τοὺς δὲ μέθ' ὁπλοτάτην τέκετο ξανθὴν Ἰόλειαν
Ἀντιόχη κρείουσα παλαιὸν γένος Αὐβολίδαο.

Ex Athenaeo. ἐν τῷ δευτέρῳ Μελαμποδίας.

—— τῷδε Μάρης θοὸς ἄγγελος ἦλθε δι' οἴκου·
Πλήσας δ' ἀργύρεον σκύπφον φέρε, δῶκε δ' ἄνακτι.

Ex eodem.

Καὶ τότε μάντις μὲν δεσμὸν βίου αἴνυτο χερσὶν,
Ἴφικλος δ' ἐπὶ νῶτ' ἐπεμαίετο· τῷ δ' ἐπόπισθεν
Σκύπφον ἔχων ἑτέρῃ, ἑτέρῃ δὲ σκῆπτρον ἀείρας
Ἔστηκεν Φύλακος, καὶ ἐνὶ δμώεσσιν ἔειπε.

Apud eundem. ἐκ τῶν Ἠοίων.

Οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἔχθος,
Ὅστις ἄδην πίνει, οἶνος δέ οἱ ἔπλετο μάργος.
Σὺν δὲ πόδας χεῖράς τε δέει γλῶσσάν τε νόον τε
Θεσμοῖς ἀφράστοισι· φιλεῖ δέ ἑ μαλθακὸς ὕπνος.

Ex eodem.

Τὰς δὲ βροτοὶ καλέουσι Πελειάδας.

Ex eodem.

Εὐρυγύης δ' ἔτι κοῦρος Ἀθηναίων ἱεράων.

Ex eodem.

—— καὶ οὐ σινέσκετο καρπόν.

Ex eodem.

Ἡδὺ γάρ ἐς' ἐν δαιτὶ καὶ εἰλαπίνῃ τεθαλυίῃ
Τέρπεσθαι μύθοισιν, ἐπὴν δαιτὸς κορέσωνται.

Ex Stephano. ἐν καταλόγῳ.

Κτεῖνεν Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς
Ἕνδεκα· δωδέκατος δ' ἢ Γερήνιος ἱππότα Νέστωρ
Ξεῖνος ἐὼν ἐτύχησε παρ' ἱπποδάμοιο Γερηνοῖς.

Ex eodem.

Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ.

Apud eundem. ἐν Αἰγίνης δευτέρῳ.

—— νήσῳ ἐν Ἀβαντίδι δίῃ,
Τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες,
Τὴν τότ' ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασε Ζεύς.

Ex Suida.

Ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδῃσι,
Νοῦν δ' Ἀμυθαονίδαις, πλοῦτον δ' ἔπορ' Ἀτρείδῃσιν.

Ex Suida & Polybio.

Αἰακίδας πολέμῳ κεχαρηότας ἠΰτε δαιτί.

Ex Plutarcho.

—— αἵτ' ἄλσεα καλὰ νέμονται,
Καὶ πηγὰς ποταμῶν, καὶ πείσεα ποιήεντα.

Ex eodem.

Ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη
Ἀνδρῶν ἡβώντων, ἔλαφος δέ τε τετρακόρωνος.
Τρεῖς δ' ἐλάφους ὁ κόραξ γηράσκεται· αὐτὰρ ὁ φοῖνιξ
Ἐννέα τοὺς κόρακας· δέκα δ' ἡμεῖς τοὺς φοίνικας
Νύμφαι ἐϋπλόκαμοι κοῦραι Διὸς Αἰγιόχοιο.

Ex eodem.

Δεινὸς γάρ μιν ἔτειρεν ἔρως Πανοπηΐδος Αἴγλης.

Ex Clemente Alexandrino.

Μάντις δ' οὐδείς ἐστιν ἐπιχθονίων ἀνθρώπων,
Ὅστις ἂν εἰδείη Ζηνὸς νόον Αἰγιόχοιο.

Ex eodem.

Αὐτὸς γὰρ πάντων βασιλεὺς καὶ κοίρανός ἐστιν
Ἀθανάτων· σοὶ δ' οὔτις ἐρήρισται κράτος ἄλλος.

Ex eodem.

Μουσάων, αἵτ' ἄνδρα πολυφραδέοντα τιθεῖσι,
Θέσκελον, αὐδήεντα.

Ex eodem.

Ἡδὺ δὲ καὶ τὸ πυθέσθαι ὅσα θνητοῖσιν ἔδειμαν
Ἀθάνατοι δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές.

Ex Scholiaste Lycophronis.

Ζεῦ πάτερ εἴθε μοι * ἥσσω μὲν αἰῶνα βίοιο
Ὤφελες δοῦναι, καὶ αἴσια μήδεα ἴδμεν
Θνητοῖς ἀνθρώποις. νῦν δ' οὐκ ἐμὲ τυτθὸν ἔτισας,
Ὃς με μακρόν γε ἔθηκας ἔχειν αἰῶνα βίοιο
Ἑπτά μ' ἔτη ζώειν * γενεὰς μερόπων ἀνθρώπων.

Ex eodem.

Τρὶς μάκαρ Αἰακίδη, καὶ τετράκις ὄλβιε Πηλεῦ,
Ὃς τοῖς δ' ἐν μεγάροις ἱερὸν λέχος εἰσαναβαίνεις.

Ex eodem.

Οἴην μὲν μοῖραν δέκα μοιρῶν τέρπεται ἀνήρ,
Τὰς δέκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα.

Ex Eustathio.

Ἄπικυον, ἦ μάλα δή σε πονηρότατον καὶ ἄριστον
Ζεὺς ἐτέκνωσε πατήρ.

Ex eodem.

Ἄργος ἄνυδρον ἐὸν Δαναὸς ποίησεν ἔνυδρον.

Ex Athenagora.

—— πατὴρ ἀνδρῶν τε θεῶν τε
Χώσατ', ἀπ' οὐλύμπου δὲ βαλὼν ψολόεντι κεραυνῷ
Ἔκτανε Λητοΐδην, φίλον σὺν θυμὸν ὀρίνων.

Ex Scholiaste Arati & Hesiodi.

Φαισύλη ἠδὲ Κορωνὶς, ἐϋστέφανός τε Κλέεια,
Φαιώθ' ἱμερόεσσα, καὶ Εὐδώρη τανύπεπλος,
Ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.

Ex Etymologico.

Ὅττι κε χερσὶ λάβεσκεν, ἀείδελα πάντα τίθεσκεν.

Ex eodem.

Βύβλον τ' ἀγχίαλον καὶ Σιδῶν' ἀνθεμόεσσαν.

Ex Porphyrio in antro Nympharum.

Ὥς κε πόλις ῥέζῃσι· νόμος δ' ἀρχαῖος ἄριστος.

Ex Scholiaste Theocriti.

—— ὀλίγον δ' εἴσω κισσυβίῳ.

Ex Scholiaste Nicandri.

—— χειρὶ παλεῖ κτίλον ἐμμάρψαι.

Ex Theone.

Καί τε διερχόμενος ἠπείγμενός ἐστι δράκων ὥς.

Ex Scholiaste Sophoclis.

Ἵκετο δ' ἐς Κρείοντα καὶ Ἡνιόχην.

FINIS.

CATALOGVS LIBRORVM HESIODI, QVORVM PLERIQVE omnes interierunt.

Ἔργα καὶ ἡμέραι.
Ἀσπίς.
Θεογονία.
Ἐπικήδειος εἰς Βάτραχον τὸν ἐρώμενον αὐτοῦ.
Ἀστρονομία μεγάλη, ἢ ἀστρικὴ βίβλος.
Ἠοῖαι μεγάλαι, ἢ Γυναικῶν κατάλογος.
Περὶ τῶν Ἰδαίων Δακτύλων.
Ἐπιθαλάμιος Πηλέως καὶ Θέτιδος.
Ὑποθῆκαι Χείρωνος.
Γενεαλογίαι ἡρωϊκαί, ἢ Ἡρωγονία.
Γῆς περίοδος.

{ Ἔπη μαντικά. / Ἐξήγησις ἐπὶ τέρασιν } ex opinione quorundam Pausanias.

Θεῖοι λόγοι } distinguuntur a Θεογονίᾳ Hesiodi eiusdem Θεῖοι λόγοι a Maximo Tyrio.

Quidam librum Hesiodi DE HERBIS ex Plinio addunt.

DANIELIS HEINSI

INTRODVCTIO

in doctrinam, quæ libris Hesiodi

ἜΡΓΩΝ καὶ ἩΜΕΡΩΝ

continetur:

In qua opinio, quæ hactenus de iis obtinuit, refutatur; totum poetæ institutum probatur.

Item

NOTÆ, EMENDATIONES,

& observationes in Hesiodum.

LVGDVNI BATAVORVM,

Ex officina IOANNIS PATII,

Anno cIↃ.IↃ.C.XXII.

Nobilissimo Amplissimoque

Viro

IANO DOVSÆ,

Nordovvici Torparchæ.

PHilosophi Platonici, Vir Nobilissime, qui in explicatione sapientiæ amœnitatem illam poetarum, suavitatem, varietatem; numerorum denique, quatenus eam pedestris admittit oratio, volubilitatem secuti sunt; ut nimirum magna illa Dea etiam a veste sua commendaretur; negant inter alia, cum homine Cimmerio de Solis pulchritudine, cum mediterraneo de maris latitudine, cum Epicuro de Deo agendum esse: quia scientiarum præstantia tota simul infundi non potest, aut, ut illi magnifico axiomate pronuntiant, οὐ δι' ἀγγέλων ἡ ἱστορία ἔρχεται, ἀλλ' ἐπιστήμης πρὸς ταῦτα δεῖ. Sicut enim omnis homo terram aut agrum videt, solus agricola de fertilitate eius iudicat, ita cum omnes hodie poetas tractent, sincerum de illis iudicium ab iis expectare maxima sit dementia. Antiquissimi Philosophi, cum in operto scientiarum, a quo quam longissime vulgus arcendum est, versari solent; Rhetores cum acutissime de omni dicendi artificio

agunt, Homerum cum Hesiodo sibi sufficere existimant. Cum virtutes omnes in oratione persequuntur, tam quæ ad τὸ λεκτικὸν, quam quæ ad τὸ πραγματικὸν spectant, ex his duobus omnia perficiunt: nec de reliquis anxiè satagendum existimant. Hoc tempore quo magnis passibus in occasum literarum itur, si quis philosophiæ studioso, primum philosophorum fuisse Homerum cum Plutarcho ostenderet, non accederet magis, quam si Sophistam aliquem esurientem, aut frigidum Atticisten in ἀδόξῳ versari audiret: puta febrem commendantem, vel Thersitem. Si quis eloquentiæ studioso plenam συνθέσεως scientiam, quæ harmoniam & rhytmum respicit, quam Plato tanti fecit, ut etiam παιδείας nomine in poetarum scriptis eam partem dignatus sit, ex his petendam in Academiis probaret, frigeret auditorium. quia diu ex animis nostris principia illa effluxerunt, quibus ad plenam scientiam pervenitur, quibusque monumenta sua veteres, tanquam æternitatis sale, ad immortalitatem condiebant. Si quis ex Hesiodi charactere, miti illo, facili, amœno, cuius periodi, tanquam ad amussin quandam factæ, brevitate quadam æquali se mutuo excipiunt, totum inter Tragicos Euripidem, inter Lyricos Sappho, inter oratores Isocratem fluxisse ostenderet, frustra esset. plus enim inveterata potest persuasio, quam ut rationi, veritati, arti cedat. Vt nonnunquam dubitaverim me hercule, utrum miserior sit vulgus, qui ignorat ista, an nos qui ab illis talia expectamus. Nunc enim, si quis poeta obtrectet, reliqua omnia scire existimatur: & hoc uno scientiam consecutus videtur, quod illius autores supplantat.

plantat. Nos, qui neque eo arrogantiæ provecti sumus, ut hac puerili propemodum ætate aliquid nos scire existimemus: neque tam adverso genio nati, ut ab omnium iudicio pendeamus, in Ἔργων καὶ Ἡμερῶν *libris, in quibus divina fuisse antiquissimæ sapientiæ mysteria nobis persuadent veteres, experiri voluimus: primo, utrumne inveteratam de iis opinionem tollere, deinde, an & præclaram eorum eruere doctrinam possemus: ipsam veritatem quæ profunde sepulta erat, per vestigia, ut venatores solent, indagati. In qua commentatione, obiter & non nisi loco suo, ostendimus, quanta simplicitate ea proponat Hesiodus, de quibus maxima philosophi volumina consarcinarunt. Non quod eadem ubiq; illis, quæ postea Philosophis, in mentem venisse arbitrer: sed quemadmodum ex simplicitate poetarum, philosophorum doctrina conflata est: ita ad illustrationem poetarum methodo eorum interdum & verbis opus esse. Ab Allegoriis, hoc est, Græcorum ambrosia & nectare, nisi cum necesse fuit, abstinuimus: easque ipsius tantum doctrinæ καὶ τ᾿ ἀκολουθίας causa adhibuimus. Scriptum hoc qualecunque, nomini tuo, Nobilissime Dousa, inscripsi: vel ut poetarum, vel ut patronorum meorum primo. Quis amore enim tali, quali nos tu, optime virorum, quenquam tam immerito est prosecutus? aut quis vivit hodie terrarum usquam cui amplius debemus? Quod profecto sive Musarum, quas tu deperis, sive nostri causa a te factum est, in solidum tenemur. Interesse autem cum privatim mea, tum & literarum publice existimavi, quæ de κριτηρίῳ, instituto, ordine, doctrina, scopo*

N *deni-*

denique huius libri, contra tum opinionem veterum multorum, tum recentiorum omnium hic disputavimus, sub auspicio illius prodire, qui & sartam tectam tanti poetæ authoritatem conservare, meam vero infantiam nominis sui splendore protegere possit.

Vale, vir Nobilissime, & nos amare perge.

DANIL-

DANIELIS HEINSI

INTRODVCTIO

in Hesiodi libros

Qui

ἜΡΓΑ καὶ ἩΜΕΡΑΙ

inscribuntur.

LIbros Hesiodi qui ab argumento ἜΡΓΑ inscribuntur, quanti fecerit vetustas; vel ex Aristotele, Platone, Xenophonte, & qui horum ore loquitur, Socrate, videre est. Nec mirū, cum in illis perfecta Ethicę & OEconomicæ præcepta tradantur. quibus Philosophi primi, sua, tanquam firmissimo fundamento, superstruxerunt: quod facillime & elegantia & antiquitate, cui omnes sensim quidlibet deferimus, impetrarunt. Nostra quoque ætate, cum omnium judicio eum dignitatis gradum obtineant, ut juventuti præ reliquis commendentur; scopus eorum tamen, tum ea quæ in iis præcipua sunt, non ætatis nostræ doctissimos modo; sed (quod sine arrogantia dictum a me existimari velim) Græcos commentatores, quos omnes cum superiori editione nostra lectori dedimus, tum veteres fere omnes, quorum ad nos de his pervenit aliquid, effugisse videntur. Nostrum igitur existimavimus, priusquam ad singula perveniamus, generaliter ea præmittere, quæ majestatem horum librorum, mentem Poetæ, & pro-

positum, non commendare modo omnibus: sed & illustrare púréque proponere possint: ne quid sit quod posthac aut doctores in interpretatione Hesiodi latere, aut auditores ab ejus lectione deterrere possit. Et enimvero, cum omnes fere antiqui Philosophi, in eo elaborarint, ut ex Homero disciplinas omnes, præcipue autem eas, per quas cognitione singularum actionum ad prudentiam pervenitur, quæ est quædam φιλοσοφία παραδειγμάτων, ut de historia pronunciant veteres: ex his vero Hesiodi, præcepta Politica, Ethica, OEconomica haurirent: nostra intererat, ut eadem vel admirari, vel frui saltem usuique nostro applicare possemus. Cum autem in his libris ea sparsim inter alia sepulta quasi jaceant, quibus ex antiquis nonnemo, æternitatem suam mundi probare nititur; cum ex his iisdem libris, nobilissimam doctrinam suam Periodicam, cujus & in iis quæ ad hunc poetam notat, meminit nonnunquam Proclus, quamque cæteri Platonici, & ex iis, Poetæ Græci & Latini, toties, nunc occulte, nunc manifeste, & sublato quasi signo, alludunt, ipse Plato construxerit: cum in proposito Poetæ & ratione agendi sit ars admirabilis & propemodum divina; ipsum denique horum librorum non tam controversum, quam eversum sit argumentum; danda est opera, ut in his omnibus, viris doctis industriam nostram probemus. &, quod proximum est, neq; a candore nostro alienũ, veniam petamus, sicubi a summis hominibus in eo dissentiamus. In quo cum vix ullus sit veterum qui præierit nobis, facilius id de quo laboramus impetrabimus. Priusquam igitur ad Hesiodi lectionem se conferet lector, brevissime quædam præmittemus, quæ & falsam ex animis opinionem tollant, & proponant veram. Atque ut ad constitutionem veri pariter & refutationem falsi, ad quæ sine mediis non pervenitur, protinus pergamus; quædam, quibus reliqua quæ graviora sunt mox innitantur, præmittenda sunt. Primo ergo omnium, Utrumne de agricultura scripserit Poeta; secundo, An si in his libris, ex instituto id fecerit; postremo, An

in

in solis istis libris de hac egerit, quæremus. Quibus quæstionibus tanquam velitibus præmissis, reliqua quæ majoris momenti sunt adornabimus.

Caput II.

